βελτίωσιν τοῦ κοινοῦ συνήθη τῆς ὑμετέρας σπουδῆς καὶ θείας ζέσεως ἐγχειρήματα. ἅπερ ἀκηκοότες ἐκ μέσης ψυχῆς ὑπερήσθημεν καὶ πρὸς εὐχαριστηρίους ὕμνους τῷ Θεῷ τὴν γλῶτταν ἐλύσαμεν, ἰδίαν εὐπραγίαν τὴν τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν κατὰ Θεὸν προκοπὴν καὶ εὐδοκίμησιν λογιζόμενοι, ὡς ἡ ἐντολή. Παρακαλοῦμεν δὲ τὴν πατρικὴν αὐτῆς σοφολογιότητα ὀψὲ γοῦν ποτε τῶν ἐλλογίμων αὐτῆς ὑμᾶς ἀξιῶσαι γραμμάτων. οἶδας γὰρ ὅσην ἡμῖν προξενήσει παραμυθίαν, καὶ ταῦτα κεκακωμένοις. Ὁ διδ. κὺρ 'Αθανάσιος ἀπὸ βαθέων ψυχῆς ὑπερήδιστα προσκυνεῖ καὶ ἀσπάζεται σὺν τῷ διδ. Δημητρίῳ. ὁ δ' ἐμὸς πενθερὸς μετὰ τῆς Ξένης, καὶ ἡ ἐμὴ σύζυγος μετὰ τῶν τέκνων αὐτῆς καὶ ἅπαξάπαντες οἱ ἐν τοῖς οἴκοις ἡμῶν καὶ τῇ καθημερινῇ ὁμιλίᾳ εὐλαβεῖς μετὰ δακρύων καὶ πόθου προσφωνοῦσι τὴν ὑμετέραν ἐλλογιμότητα. τὸν σοφολογιώτατον διδ. καὶ χρυσοῦν τὴν ψυχὴν καὶ τοὔνομα Χρύσανθον εὐλαβῶς προσκυνῶ.

αψπω νοεμβρίου ιεη. 'Αθήνηθεν.
τῆς ὑμετέρας περιποθήτου σοφολογιότητος
ὅλος ἐξηρτημένος
πνευματικὸν εὐτελέστατον τέκνον
'Ιωάννης Μπενιζέλος

ΣΧΟΛΙΑ

14-15. *ξυνωρίδος τῶν φοιτητῶν, Πέτρου καὶ Εὐθυμίου.*— Οἱ δυὸ αὐτοὶ φοιτητὲς ἦλθαν ἀπὸ τὴ Σμύρνη, ὅπου ὁ Βουλησμᾶς σταμάτησε κατὰ τὸ διάστημα ἀπὸ 24 Σεπτεμβρίου - 10 'Οκτωβρίου 1780 (βλ. Σχόλια στὸ Α', στ. 5). Πρβλ. καὶ Σχόλια στὸ Γ', στ. 10-11.

27-29. *Ὁ διδάσκαλος κὺρ 'Αθανάσιος... σὺν τῷ διδ. Δημητρίῳ.* — Βλ. γι' αὐτοὺς τὰ Σχόλια στὸ γρ. Α', στ. 7 καὶ 8-9.

29-30. *Ὁ δ' ἐμὸς πενθερὸς μετὰ τῆς Ξένης καὶ ἡ ἐμὴ σύζυγος.*— Ξένη λεγόταν ἡ πενθερὰ τοῦ Μπενιζέλου (βλ. καὶ Η' 54), σύζυγος τοῦ Δημ. Καλογερᾶ, ἐνῷ ἡ σύζυγος τοῦ Μπενιζέλου (κόρη τῆς Ξένης) ὀνομαζόταν Μαρία.

Γ'

Ο ΙΩΑΝΝΗΣ ΜΠΕΝΙΖΕΛΟΣ ΠΡΟΣ ΤΟ ΔΩΡΟΘΕΟ ΒΟΥΛΗΣΜΑ

'Αθήνα 1781
(Αυτὸ ἔγγρ. μονῆς Παντελ. 'Αγ. Ὄρους, 315×210) 'Απριλίου 15

Π ε ρ ί λ η ψ η. — Ὁ Μπενιζέλος πληροφορήθηκε τοὺς σταθμοὺς τοῦ Βουλησμᾶ στὴν Ὕδρα καὶ στὴ Χίο ἀπὸ τὸ διδάσκαλο 'Αθανάσιο [Μπουσόπουλο] καὶ

τὴν ὑποδοχὴ καὶ τὸ κήρυγμά του στὴ Σμύρνη ἀπὸ τοὺς φοιτητὲς Πέτρο καὶ Ἐλευθέριο, ποὺ ἦλθαν ἀπ' ἐκεῖ κατὰ τὰ μέσα Ὀκτωβρίου [1780]. Νομίζοντάς τον ἀκόμη στὴ Σμύρνη, τοῦ ἔστειλε γράμμα ἐκεῖ [=Β'] καί, ὅταν δὲν ἀπαντοῦσε, καὶ δεύτερο, μὲ τὸ γυναικάδελφό του Νικόλαο [Καλογερᾶ], μαζὶ μὲ μικρὸ «κεράμιον μέλιτος». Ἀφοῦ εἶχε στερηθεῖ ἔτσι τὰ νέα του γιὰ καιρό, ἔλαβε ἐπὶ τέλους τὸ γράμμα του τῆς 2 Νοεμβρίου [1780] [=Α'] κατὰ τὰ τέλη Ἰανουαρίου [1781], στὸ ὁποῖο δὲν ἀπάντησε ἀμέσως, ἐπειδὴ ἀμφέβαλλε, ἂν βρισκόταν ἀκόμη στὴν Κωνσταντινούπολη. Διατηρεῖ πάντα τὴν καλύτερη ἀνάμνηση τῆς φιλίας καὶ τῆς «συνδιαιτήσεως» καὶ συναναστροφῆς του [στὴν Ἀθήνα]. Ἀλλὰ ὁ κύριος σκοπός, γιὰ τὸ ὁποῖο τοῦ γράφει σήμερα, εἶναι ὁ ἀκόλουθος. Βλέποντας τὴν ἀμάθεια τῶν χριστιανῶν, καὶ μάλιστα τῶν ἱερέων, τῆς Ἀθήνας γύρω ἀπὸ τὰ «*ἀναγκαῖα τῆς πίστεως δόγματα*» καὶ τὴν ἀπροθυμία γιὰ ν' ἀκούσουν τὸ κήρυγμα, συγκέντρωσε, μὲ ὅλη του τὴ φιλοπονία, ἀπὸ διάφορα βιβλία, στοιχεῖα καὶ συνέγραψε, σύντομη ἀλλὰ πλήρη, «*Διδασκαλίαν Χριστιανικὴν κατ' ἐρωταπόκρισιν*», σὲ δημώδη γλῶσσα, γιὰ τὰ ἀναγκαῖα δόγματα καὶ «*τὰ κατὰ τὴν πίστιν ἔργα*». Τὸ πόνημα αὐτό, σὲ ὀκτὼ τετράδια, τὸ ἔδειξε στὸ διδάσκαλο Δημήτριο [Βόνδα], ποὺ τὸ ἐπεκρότησε. Τώρα ἐπιθυμεῖ νὰ τὸ ὑποβάλει στὴν κρίση τοῦ Βουλησμᾶ καὶ τὸν παρακαλεῖ, ἂν τὸ ἐγκρίνει, νὰ φροντίσει νὰ ἐκδοθεῖ. Περιμένει ἀπάντησή του.

»Τὴν ἱερὰν καὶ ἐλλόγιμον καὶ τριπόθητόν μοι κορυφὴν πανευλαβῶς προσκυνῶ καὶ ἐκ βάθους ψυχῆς κατασπάζομαι. τὸ δ' αὐτὸ τοῦτο ποιοῦσι καὶ τὰ περὶ ἐμὲ πνευματικὰ καὶ παμφίλτατα αὐτῆς τέκνα.

† Τὰ μὲν περὶ τῆς ἐν Ὕδρᾳ διατριβῆς κἀκεῖθεν εἰς Χίον ἀποδημίας σου παρὰ τοῦ γέροντος διδασκάλου Ἀθανασίου ἐμάθομεν. τὴν δέ γε ἐν Σμύρνῃ παρὰ τοῦ σχολαρχοῦντος κυρίου Χρυσάνθου καὶ τῶν προὐχόντων τῆς πόλεως ὑπτίαις, ὥς φασιν, ὠλέναις ὑποδοχήν, τήν τε ἐπ' ἐκκλησίαις γλυκύῤῥοον ἐκείνην καὶ θαυμαστὴν ὁμιλίαν περὶ ἀγάπης ἡ ἐκεῖθεν πρὸς ἡμᾶς διαπλεύσασα κατὰ μέσον σχεδὸν τὸν Ὀκτώβριον ξυνωρὶς φοιτητῶν Πέτρος καὶ Ἐλευθέριος ἡμῖν ἀνήγγειλεν. ἀνθ' ὧν καίτοιγε τηνικαῦτα θλίψεσι καὶ δεινοῖς, ἰδίᾳ τε καὶ κοινῇ, προσπαλαίοντες, οὐ μετρίας ἡδονῆς ἐνεπλήσθημεν. καὶ πῶς γὰρ οὐκ ἐμέλλομεν, εὐοδουμένην ἀκούοντες τὴν ἀρετὴν καὶ τὸ καλὸν ἐπαινούμενον; καὶ δὴ παραχρῆμα πεπεισμένοι ὄντες ἐν Σμύρνῃ τὰς διατριβὰς ἄγειν τὴν σὴν σοφολογιότητα, διὰ γραμμάτων αὐτῇ διελέχθημεν δηλοποιοῦντες τὰ καθ' ἡμᾶς. χρόνου δὲ συχνοῦ προϊόντος καὶ τῶν ὑπὲρ μέλι καὶ κηρίον γλυκυτέρων ἡμῖν γραμμάτων σου στερισκόμενοι, ἐν ἀθυμίας βυθῷ γεγόναμεν ὑποβρύχιοι, λήθης σημεῖον τὴν ἀφωνίαν ἡγούμενοι. ἀλλ' οὖν καὶ δευτέραν ἐπιστολὴν ἐπεθήκαμεν τῷ Σμύρναζε εὐθυπλοοῦντι ἡμετέρῳ γυναικαδέλφῳ κὺρ Νικολάῳ πρὸς τὴν ἱεράν σου καὶ ἐπέραστον ἡμῖν κεφαλὴν μετὰ καί τινος μικροῦ κεραμίου μέλιτος, μεγάλης ἀγάπης καὶ υἱϊκοῦ χρέους συμβόλου. καὶ ὥσπερ ὁ Νῶε τὴν περιστερὰν τὴν τοῦ κατακλυσμοῦ ἐκκοπὴν εὐαγγελισομένην, οὕτω καὶ ἡμεῖς τὰ σοφά σου κεχηνότες περιεμένομεν γράμματα. καὶ τέως μὲν οὕτως εἴχομεν ἐσχάτῃ λύπῃ κατάπτωτοι διὰ τὴν παντελῆ ἄγνοιαν τῶν κατὰ τὴν ὑμετέραν ἱερολογιότητα. ὀψέποτε δὲ ἀπὸ Κωνσταντινουπόλεως τὴν πολυπόθητόν σου παρ' ἐλπίδας ἐπιστολὴν κομισάμενοι, ἀκριβῶς ἡμῖν τὰ περὶ αὐτῆς ἐξαγγέλλουσαν, ἡλίκης εὐφροσύνης ἐνεφορήθημεν, γραφῇ παραδοῦναι ἀμήχανον. ἀλλά γε καὶ πάλαι διψῶντες ἡμεῖς διὰ γραμμάτων τῇ ἱερᾷ σου ψυχῇ ἐντυχεῖν τὸ τῆς ἐπιστολῆς ὑπερήμερον (κατὰ γὰρ τὴν βαν τοῦ νοεμβρίου γραφεῖσαν, περίπου ἤδη τὰ τέλη τοῦ Ἰανουαρίου ἐκομισάμεθα) καὶ ἡ ἐκ τόπου εἰς τόπον ἀποστολική σου περίοδος καὶ μεταλλαγὴ ἐποίει ἐν ἀμφιβολίᾳ ὑπάρχειν τῆς εἰσέτι ἐν βασιλευούσῃ διαγωγῆς καὶ ἐπομένως πρὸς τὴν τοῦ γράμματος ἀπάντησιν ὀκνηρούς. πρὸ πάντων δὲ διὰ τὸ ἔκτοτε μέχρι τοῦ νῦν οὐδέπω ἡμᾶς δυνηθῆναι ἐπιτυχεῖν τινὸς τῶν αὐτόθι κατ' εὐθεῖαν ἀφικνουμένων. τὸν μὲν οὖν πόθον καὶ τὸ τῆς ἀγάπης ἐγκάρδιον πῦρ, ὃν διατελῶν ἔχω πρὸς τὴν ὑμετέραν ἱερολογιότητα, τήν τε ἀνεξάλειπτον μνήμην τῆς εἴπέρ τι ἄλλο τιμαλφεστάτης μοι καὶ ἡδίστης πρὸς ἀλλήλους συνδιαιτήσεως καὶ τῆς ἐν πνευματικαῖς διαλέξεσι ὡς τὰ πολλὰ ἐπωφελοῦς ἐκείνης διανυκτερεύσεως, οὐδ' αὐτὸς γράφειν οἷός εἰμι, οὐθ' ἡ φιλόστοργός σου ψυχὴ τῆς παρ' ἐμοῦ ὑπομνήσεως χρήζει, εὖ μάλα τῆς ἀντιδιδομένης διαθέσεως πληροφορούσης αὐτήν. πάλαι γάρ μοι τὸ τοιοῦτόν ἐστιν ἀναμφίβολον, ὡς πάντα τὰ τέκνα ὅσα σοι ἐν Χριστῷ Ἰησοῦ ὁ τῆς εὐαγγελικῆς σου περιελεύσεως τοκετὸς εἰσεποίησεν ἐζωγραφημένα τοῖς πατρικοῖς σπλάγχνοις περιφέρων διατελεῖς. ἡ δὲ κατ' ἐξοχὴν ἔφεσις καὶ διάπυρος ἐπιθυμία, ἡ περὶ πολλοῦ ἐνυπάρχει μου τῇ ψυχῇ πρὸς τὸ γράψαι σοι τῷ περιποθήτῳ μοι διδ. αὕτη ἐστίν. ὁρῶν | τῶν ἐνταῦθα χριστιανῶν, καὶ μάλιστα τῶν ἱερέων, τὴν περὶ τὰ ἀναγκαῖα τῆς πίστεως δόγματα ἀξιοδάκρυτον ἀμάθειαν, λυπούμενος δ' ἄκρως καὶ διὰ τὸν ἐπικρατήσαντα ἤδη, οὐκ οἶδ' ὅπως, ἐν τῇ καθ' ἡμᾶς ταλαιπώρῳ πόλει λιμὸν τοῦ ἀκοῦσαι λόγον Θεοῦ, καίτοι γε τῶν διδόναι τοῦ τοιούτου λόγου τὸ σιτο-

7 Philostr. 771.

23-24 Cf. Gen. 8. 8-13

μέτριον δυναμένων, ἑτοίμων ὄντων καὶ καθ' ἑκάστην παρακαλούντων, πᾶσαν ὡς οἷόν τε φιλοπονίαν καταβαλόμενος, συνέλεξα ἐκ διαφόρων βιβλίων Διδασκαλίαν Χριστιανικὴν κατ' ἐρωταπόκρισιν *ἐν ἰδιωτικῷ χαρακτῆρι περὶ τῶν ἀναγκαίων δογμάτων τῆς πίστεως καὶ τῶν κατὰ τὴν πίστιν ἔργων συντόμως θ' ἅμα καὶ ἐντελῶς πραγματευομένην. εἰς γὰρ ὀκτὼ συμποσοῦται τετράδια. ἣν δὲ καὶ τῷ διδ. Δημητρίῳ ἐκοίνωσα, παρ' οὗ οὐ τῆς τυχούσης ἀποδοχῆς καὶ ἐπαίνου ἠξίωται. ἐμοῦ δὲ τὸ πρόθυμον καὶ ἡ ἀνάπαυσις πέφυκεν, ἵνα τὴν κριτικωτάτην αὐτῆς ἀκοὴν ὑπέλθῃ καὶ δι' αὐτῆς (εἴ γε τοιαύτη φανῇ) ἐκδοθῇ καὶ τοῖς τύποις πρὸς κοινὴν ὠφέλειαν. Παρακαλῶ γοῦν τὴν σὴν σοφολογιότητα χαροποιῆσαι ἡμᾶς διὰ τῶν ἐλλογίμων αὐτῆς γραμμάτων καὶ περὶ τοῦ τοιούτου ἀποκριθῆναι. Ἔρρωσό μοι κατ' ἄμφω, ὑπὸ τῆς θείας προνοίας περιφρουρούμενός τε καὶ διδασκόμενος. αψπαφ. ἀπριλλίου κεῃ. Ἀθήνηθεν. τῆς ὑμετέρας σεβασμίου μοι ἱερολογιότητος*

πνευματικὸν ἐλάχιστον τέκνον

Ἰωάννης Μπενιζέλος

(Στὸ ἀριστερὸ περιθώριο τοῦ πρώτου φύλλου, σὲ δύο κάθετες σειρές, ἀπὸ τὰ μέσα πρὸς τὰ ἔξω):

Ὁ συγγενὴς αὐτῇ Παΐσιος ἱερομόναχος Βρετὸς τοὐπίκλην τοῦ ποτὲ Ἰωάννου ἀφίκετο ἐνταῦθα κατ' ἔρωτα παιδείας, / ὃν καὶ ὑπεδεξάμην φιλοφρόνως κατὰ τὸ χριστιανικὸν ὁμοῦ καὶ διδασκαλικὸν χρέος.

ΣΧΟΛΙΑ

10-11. *ξυνωρὶς φοιτητῶν Πέτρος καὶ Ἐλευθέριος.* — Εἶναι φανερὸ ὅτι ἡ «ξυνωρὶς» αὐτὴ τῶν φοιτητῶν (Πέτρος καὶ Ἐλευθέριος) δὲν εἶναι ἄλλη ἀπὸ τὴν «ξυνωρίδα» τῶν φοιτητῶν (Πέτρου καὶ Εὐθυμίου) ποὺ μνημονεύεται στὸ γράμμα Β', στ. 14-15. Τότε ὅμως τὸ ὄνομα τοῦ δεύτερου φοιτητῆ θὰ ἦταν ἢ Εὐθύμιος ἢ Ἐλευθέριος (ἐκτὸς ἂν τὸ ἕνα ἦταν τὸ μοναχικό).

20-21. *ἡμετέρῳ γυναικαδέλφῳ κὺρ Νικολάῳ.* — Πρόκειται γιὰ τὸ Νικόλαο Καλογερᾶ, γιὸ τοῦ Δημητρίου. Βλ. γι' αὐτὸν Ιω. ΜΠΕΝΙΖΕΛΟΥ, *Ἱστορία τῶν Ἀθηνῶν*, σ. 319 καὶ 324.

27-28. *ἀπὸ Κωνσταντινουπόλεως τὴν πολυπόθητόν σου... ἐπιστολὴν κομισάμενοι...* — Πρόκειται γιὰ τὴν ἐπιστολὴ ὑπ' ἀριθ. Α' τοῦ Βουλησμᾶ, τῆς 2 Νοεμβρίου 1780 (βλ. στ. 32: *κατὰ γὰρ τὴν βαν τοῦ νοεμβρίου γραφεῖσαν*), ποὺ ὁ Μπενιζέλος τὴν ἔλαβε (βλ. στ. 33) *περί που ἤδη τὰ τέλη τοῦ Ἰανουαρίου* (1781).

41. *πρὸς ἀλλήλους συνδιαιτήσεως...* — Ὁ Μπενιζέλος ὑπονοεῖ προφανῶς τὴ φιλοξενία ποὺ πρόσφερε στὸ Βουλησμᾶ, ὅταν αὐτὸς ἐπισκεπτόταν τὴν Ἀθήνα. Βλ. Σχόλια στὸ Α', στ. 5.

51-67 *Ὁρῶν τῶν ἐνταῦθα χριστιανῶν...* — Ἐδῶ εἶναι ἡ πρώτη φορὰ ποὺ ὁ Μπενιζέλος γράφει γιὰ τὸ ἔργο του *Διδασκαλία Χριστιανικὴ κατ' ἐρωταπόκρισιν*. Τὰ ἴδια, καὶ μὲ σχεδὸν ὅμοια διατύπωση, θὰ ἐπαναλάβει καὶ στὸ ἑπόμενό του γράμμα Δ' (στ. 50-67).

61. *εἰς γὰρ ὀκτὼ συμποσοῦται τετράδια.* — Πρόκειται γιὰ τὸ ὑπ' ἀριθ. 617 χειρόγραφο τῆς μονῆς Παντελεήμονος Ἁγ. Ὄρους, ποὺ εἶναι πραγματικὰ αὐτόγραφο τοῦ Μπενιζέλου καὶ ἔχει 64 φύλλα (=8 ὀκτάφυλλα τετράδια). Βλ. καὶ παραπάνω, σ. 35.

61-62. *τῷ διδασκάλῳ Δημητρίῳ ἐκοίνωσα.* — Ἐννοεῖ τὸν προστατευόμενο τοῦ Βουλησμᾶ Δημήτριο Βόνδα (βλ. παραπάνω, σ. 23 καὶ 64-65). Στὸ ἑπόμενο γράμμα του (Δ', στ. 60-61) γράφει ὅτι τὸ ἔργο του καὶ ἀπὸ τοὺς δυὸ διδασκάλους τῆς Ἀθήνας (τὸ Δημήτριο καὶ τὸν Ἀθανάσιο) *ἀποδοχῆς καὶ ἐπαίνου ἠξίωται.*

Ὑστερόγρ. *Ὁ συγγενὴς αὐτῇ Παΐσιος ἱερομόναχος Βρετός.* — Μᾶς εἶναι ἄγνωστη ἡ ταυτότητα τοῦ προσώπου αὐτοῦ.

Δ'

Ο ΙΩΑΝΝΗΣ ΜΠΕΝΙΖΕΛΟΣ ΠΡΟΣ ΤΟ ΔΩΡΟΘΕΟ ΒΟΥΛΗΣΜΑ

Ἀθήνα 1781
(Αὐτὸ ἔγγρ. μονῆς Παντελ. Ἁγ. Ὄρους, 285×190) Μαΐου 25

Π ε ρ ί λ η ψ η. — Ὁ Μπενιζέλος ἔστειλε στὸ Βουλησμᾶ τέσσερα γράμματα, ἐκτὸς ἀπὸ τὸ σημερινό. Τὸ γράμμα ποὺ τοῦ ἔστειλε τὸν Ὀκτώβρη [1780] στὴ Σμύρνη παρέπεσε. Στὰ τέλη Ἰανουαρίου [1781] ἔλαβε ἀπὸ τὴν Κωνσταντινούπολη τὸ γράμμα του τῆς 2 Νοεμβρίου [1780] [=Α'], ἀλλὰ δὲν μπόρεσε νὰ μάθει περισσότερα γι' αὐτὸν ἀπὸ τοὺς Ἀθηναίους ποὺ πηγαινοέρχονται στὴν Κωνσταντινούπολη καὶ δὲν ἤξερε ἂν βρισκόταν ἀκόμη ἐκεῖ. Τοῦ ἔστειλε πρόσφατα δυὸ γράμματα μὲ τὸν κοινὸ γνώριμό τους στὴν Ὕδρα Πιέρο Βρετό, ἀλλὰ φαίνεται πὼς ὁ ἐκεῖ λοιμὸς τὸν ἐμπόδισε νὰ τὰ διαβιβάσει μὲ τὰ πλοῖα. Ἐπὶ τέλους ἔμαθε τὰ νέα του ἀπὸ τὸ γράμμα τοῦ Παναγιωτάκη Νοταρᾶ καὶ τώρα ὁ γραμματοκομιστὴς Ἰωαννίκιος θὰ ἀνακοινώσει στὸ Βουλησμᾶ ὅλα τὰ δικά του νέα. Ἐπαναλαμβάνει καὶ ἐδῶ ὅσα γράφει στὸ Γ' (στ. 38 ἑξ.), ὅτι δηλ. διατηρεῖ πάντα τὴν καλύτερη ἀνάμνηση τοῦ δεσμοῦ των στὴν Ἀθήνα κλπ. καὶ ὅτι κύριος σκοπὸς τοῦ γράμματός του εἶναι νὰ τοῦ ἀνακοινώσει ὅτι, βλέποντας τὴν ἀμάθεια τῶν Χριστιανῶν τῆς Ἀθήνας κλπ., συνέγραψε *Διδασκαλίαν Χριστιανικὴν κατ' ἐρωταπόκρισιν* σὲ δημώδη γλώσσα κλπ. Τὸ σύγγραμμά του αὐτὸ ἐπαινέθηκε ἀπὸ τοὺς δυὸ διδασκάλους τῆς Ἀθήνας, Δημήτριο [Βόνδα] καὶ Ἀθανάσιο [Μπουσόπουλο]. Τώρα ἐπιθυμεῖ νὰ τὸ ὑποβάλει καὶ στὴν κρίση τοῦ Βουλησμᾶ καί, ἂν αὐτὸς τὸ βρεῖ δόκιμο, νὰ ἐκδοθεῖ μὲ τὴ φροντίδα καὶ τὴν ἐπιμέλειά του. Παρορμήθηκε στὴ συγγραφὴ τοῦ ἔργου αὐτοῦ μὲ μοναδικὸ σκοπὸ τὴν ὠφέλεια τῶν συμπολιτῶν του. Ὁ Βουλησμᾶς θὰ τὸ λάβει ἀπὸ τὸν Ἰωαννίκιο μαζὶ μὲ τὴ *Λογικὴ* τοῦ Βλεμμύδη, ποὺ τὴ ζήτησε μὲ τὸ γράμμα τοῦ Παναγιωτάκη [Νοταρᾶ].

[Στὸ ὑστερόγραφο]: Χαιρετισμοὺς ἀπὸ ὅλους τοὺς δικούς του καὶ ἀπὸ

τὸ διδάσκαλο Ἀθανάσιο. Ἂν ἐκδοθεῖ, μὲ τὴ μεσολάβηση τοῦ ἀποδέκτη, ἡ *Διδασκαλία*, παρακαλεῖ νὰ τοῦ σταλοῦν ἀρκετὰ ἀντίτυπα, γιὰ νὰ τὰ μοιράσει στοὺς ἱερεῖς, γιατὶ αὐτὸς εἶναι ὁ μόνος σκοπός του.

»τῷ σοφολογιωτάτῳ καὶ σεβασμιωτάτῳ μοι ἱεροδιδασκάλῳ κυρίῳ Δωροθέῳ τὴν μεθ' ὅσης μου τῆς εὐλαβείας ἐδαφιαίαν προσκύνησιν καὶ τὴν ἐκ βαθέων ψυχῆς πρόσρησιν ἀπονέμω.

† Φθόνος, οἶμαι, τοῦ κοινοῦ ἐχθροῦ πολεμεῖ τῷ ἐμῷ πόθῳ, ὃν διατελῶν ἔχω ἐλάφου διψώσης δίκην πρὸς τὸ διὰ γραμμάτων διαλεχθῆναι τῇ ἱερᾷ σου καὶ ἐλλογίμῳ ψυχῇ, σεβασμιώτατέ μοι καὶ περιπόθητε διδάσκαλε καὶ πάτερ καὶ εὐεργέτα, καὶ πᾶν εἴ τι τίμιον ἐμοὶ καὶ πρᾶγμα καὶ ὄνομα. τῆς γὰρ ἀνὰ χεῖρας ἐκτός, τέσσαρας ἤδη ἐκπέμψας ἐπιστολάς, οὐκ οἶδα εἴ γέ τινα ἐξ αὐτῶν μέχρι τοῦδε συνέβη τῆς σῆς ἀξιωθῆναι ὑποδοχῆς τε καὶ ἀναγνώσεως. αἱ μὲν γὰρ εἰς Σμύρνην, κατὰ τὸν παρελθόντα ἀποσταλεῖσαι Ὀκτώβριον, τῆς ἐκεῖσε ὑμετέρας διατριβῆς μὴ τυχοῦσαι, παρέπεσον οὐκ οἶδά πῃ καὶ ἀπώλοντο. μετὰ δὲ χρόνον συχνὸν παρ' ἐλπίδας ἀπὸ βασιλευούσης περί που τὰ τέλη τοῦ Ἰανουαρίου τὸ πολυπόθητόν μοι καὶ ἱερόν σου καὶ ὑπερήμερον (κατὰ γὰρ τὴν βαν τοῦ Νοεμβρίου ἐγέγραπτο) γράμμα μεθ' ὅσης οἷόν τε τῆς περιχαρείας δεξάμενος, οὐκ ἠδυνήθην οὔτε τῶν αὐτόθεν πρὸς ἡμᾶς καταιρόντων οὔτε τῶν ἐντεῦθεν εὐθυπλοούντων εἰς Κωνσταντίνου ἐπιλαβέσθαι τινός, ὥστε τὰ κατὰ τὴν σὴν σοφολογιότητα μαθεῖν ἀκριβέστερον καὶ τὸν ἐμὸν πόθον καὶ χρέος ἀφοσιώσασθαι. τὸ γὰρ τοῦ γράμματος ὑπερήμερον καὶ ἡ ἐκ τόπου εἰς τόπον ἀποστολική σου περίοδος καὶ μεταλλαγὴ οὐκ ἀπεικότως ἐποίει με ἐν ἀμφιβολίᾳ ὑπάρχειν τῆς εἰσέτι ἐν βασιλευούσῃ σου ἐνδημίας. τέως δ' οὖν διὰ τοῦ ἐν Ὕδρᾳ κοινοῦ γνωρίμου Πιέρου Βρετοῦ δὶς ἐξαπέστειλα πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κορυφήν, ἀλλ' ὁ ἐν ἐκείνῳ τῇ νήσῳ ἐνσκήψας λοιμὸς (ὃν εἴθε καὶ κατὰ τῆς ἡμετέρας ἐπαπειλούμενον πόλεως τὸ θεῖον ἔλεος καὶ ἡ τοῦ ἁγίου Σπυρίδωνος προστασία διασκεδάσοι) οὐ συνεχώρησεν, οἶμαι, τῷ σιὸρ Πιέρῳ τὰς διαπλεούσας ὁλκάδας περινοστεῖν, ὥστε καὶ τὰ γράμματα ἐπιδοῦναι. χάρις δὲ τῷ Θεῷ, ἀνακαινίσαντί μοι ὀψέποτε τὰς περὶ τῆς ὑμετέρας ἱερολογιότητος εὐκρινεῖς εἰδήσεις διὰ τοῦ γράμματος τοῦ σιὸρ Παναγιωτάκη Νοταρᾶ, ὁμοῦ καὶ τὰς προτέρας τῶν πρὸς σέ μου γραμμάτων δυσκολίας ἐξομαλίσαντι διὰ τοῦ παρόντος γραμματοκομιστοῦ κὺρ Ἰωαννικίου, ὃς ἐπὶ τίσι καὶ τίνος χάριν ἐντεῦθεν ἀποδημεῖ, πρὸς δὲ καὶ τὰ καθ' ἡμᾶς πάντα κοινῇ καὶ τὰ καθ' ἕκαστον διὰ ζώσης φωνῆς γνωρίσει τῇ ὑμετέρᾳ σοφολογιότητι. τὸν μὲν οὖν πρὸς σέ μου πόθον καὶ τὸ τῆς ἀγάπης ἐγκάρδιον ‖ πῦρ ‖ τήν τε ἀνεξάλειπτον μνήμην τῆς εἴπέρ τι ἄλλο τιμαλφεστάτης μοι καὶ ἡδίστης πρὸς ἀλλήλους διαγωγῆς καὶ τῆς ἐν πνευματικαῖς καὶ σπουδαίαις ὡς τὰ πολλὰ ὁμιλίαις ἐπωφελοῦς ἐκείνης διανυκτερεύσεως οὔτ' αὐτὸς ἐξαγγέλλειν οἷός εἰμι οὔθ' ἡ φιλόστοργός σου ψυχὴ τῆς παρ' ἐμοῦ ὑπομνήσεως χρῄζει, εὖ μάλα τῆς ἀντιδεδομένης διαθέσεως πληροφορούσης αὐτήν. πάλαι γάρ μοι τὸ τοιοῦτον καθωμολόγηται, ὡς πάντα τὰ τέκνα ὅσα σοι ἐν Χριστῷ Ἰησοῦ ὁ τῆς εὐαγγελικῆς σου περιελεύσεως τοκετὸς εἰσεποίησεν, ἐζωγραφημένα τῇ ἱερᾷ σου μνήμῃ περιφέρων διατελεῖς. ἡ δὲ κατ' ἐξοχὴν ἔφεσις καὶ διακαὴς ἐπιθυμία, ἣ πρὸ πολλοῦ ἐμφωλεύει τοῖς ἐμοῖς σπλάγχνοις πρὸς τὸ δι' ἐπιστολῶν ἐντυχεῖν τῇ τριποθήτῳ μοι σοφολογιότητι / αἰτιᾶται μὲν καὶ τὸ φίλτρον, ὃ ὑπὲρ πολλοὺς καὶ προσάγειν καὶ ἀπολαμβάνειν καυχῶμαι, ἐδράξατο δὲ οὐχ ἧττον καὶ τοιᾶσδε προφάσεως. ὁρῶν τῶν ἐνταῦθα χριστιανῶν καὶ μάλιστα τῶν ἱερέων τὴν περὶ τὰ ἀναγκαῖα τῆς πίστεως δόγματα ἐσχάτην ἀμάθειαν, λυπούμενος δὲ ἐς ἄκρον καὶ διὰ τὸν τῆτες ἐπικρατήσαντα, οὐκ οἶδ' ὅπως, ἐν τῇ καθ' ἡμᾶς ταλαιπώρῳ πόλει λιμὸν τοῦ ἀκοῦσαι λόγον Θεοῦ, καίτοι γε τῶν διδόναι τοῦ τοιούτου λόγου τὸ σιτομέτριον δυναμένων ἑτοίμων ὄντων καὶ καθ' ἑκάστην παρακαλούντων, πᾶσαν ὡς οἷόν τε φιλοπονίαν καταβαλόμενος, συνέλεξα ἐκ διαφόρων Διδασκαλίαν *τινὰ* Χριστιανικὴν *κατ' ἐρωταπόκρισιν ἐν ἁπλῷ χαρακτῆρι μεθ' ὅσης ἠδυνήθην τῆς συντομίας ἅμα καὶ τελειότητος, ἥτις καὶ παρὰ τῆς ἐνταῦθα ξυνωρίδος τῶν διδασκάλων θεωρηθεῖσα, Δημητρίου φημὶ καὶ Ἀθανασίου, ἀποδοχῆς καὶ ἐπαίνου ἠξίωται. ἐμοῦ δὲ τὸ πρόθυμον καὶ ἡ πᾶσα ἔφεσις καὶ πληροφορία ἐστίν, ἵνα τὴν κριτικωτάτην αὐτῆς ὑπέλθῃ καὶ ὄψιν καὶ ἀκοήν, καί, εἴ γε ὀφθῇ δόκιμος, ἐκδοθῇ καὶ τοῖς τύποις, τῇ περὶ ‖ τὰ ‖ τοιαῦτα σπουδῇ καὶ ἐπιμελείᾳ τῆς σῆς ἱερολογιότητος. ὥρμησα δὲ εἰς τοῦτο οὐδενὸς ἄλλου ἕνεκεν, μάρτυς ὁ καρδιογνώστης Θεός, ὅτι μὴ διὰ μόνην τὴν τῶν ἀδελφῶν μου συμπολιτῶν ὠφέλειαν. κομίσῃ οὖν αὐτὴν μετὰ καὶ τῆς* Λογικῆς *τοῦ Βλεμμύδου παρὰ τοῦ γραμματοφόρου Ἰωαννικίου, ἣν διὰ τοῦ γράμματος τοῦ σιὸρ Παναγιωτάκη ἐζήτησας.*

Ἔρρωσό μοι καθ' ἑκάτερα τῇ παναλκεῖ τοῦ δεσπότου δεξιᾷ δυναμούμενος, καὶ πρὸς τὰ κατὰ τὴν ἐκείνων ἀρέσκειαν, καὶ τὰ κοινῇ συμφέροντα εὐοδούμενος, ἐμοῦ δὲ τοῦ ἐλαχίστου, πλὴν φιλτάτου τέκνου ἀείποτε μεμνημένος εὐχαῖς τε καὶ γράμμασι.

---

37 *πῦρ* supra lineam || 64 *τὰ τοιαῦτα* cod.[1] : *ταῦτα* cod.

αψπαφ, μαΐου κεῃ. 'Αθήνηθεν
τῆς ὑμετέρας σεβασμίου μοι ἱερολογιότητος
ὅλος ἐξηρτημένος, ἐλάχιστον πνευματικὸν τέκνον
'Ιωάννης Μπενιζέλος

ἡ ταπεινή μου σύζυγος καὶ δούλη της μετὰ τῶν τέκνων γονυκλι-
τῶς δακρυῤῥοοῦσα τὴν προσκυνεῖ, κατασπαζομένη τὴν δεξιάν.ὁμοίως
καὶ ὁ πενθερός μου σὺν τῇ συζύγῳ καὶ τοῖς λοιποῖς.

(στὸ ἀριστερὸ περιθώριο τοῦ πρώτου φύλλου, σὲ τρεῖς κάθετες γραμμές, ἀπὸ τὰ μέσα πρὸς τὰ ἔξω ἡ προσθήκη):

ὁ διδάσκαλος 'Αθανάσιος ἀδελφικῶς καὶ ὡς ἥδιστα ἐν Κυρίῳ αὐτὴν ἀσπάζεται. ἐὰν Θεὸς διδῷ καὶ φανεῖσα δόκιμος | *ἡ* Διδασκαλία *ἤθελε ἐκδοθεῖ διὰ μέσου της εἰς τύπον, παρακαλῶ νὰ κάμῃ τρόπον εἰς τὸ νὰ μοῦ σταλθοῦν* | *ἱκαναῖς φυλλάδες, διὰ νὰ μοιράσωμεν εἰς τοὺς ἱερεῖς, διότι αὐτὴ εἶναι ὅλη μου ἡ σπουδή.*

ΣΧΟΛΙΑ

8-9. *τέσσαρας ἤδη ἐκπέμψας ἐπιστολάς.* — 'Απὸ τὰ τέσσερα αὐτὰ γράμματα τοῦ Μπενιζέλου πρὸς τὸ Βουλησμᾶ μᾶς ἔχουν σωθεῖ μόνο τὰ δύο (ἀριθ. Β' καὶ Γ'), ἄρα τὰ ἄλλα δύο ἔχουν χαθεῖ ἢ λανθάνουν. Τὸ ἕνα ἀπ' αὐτὰ εἶναι αὐτὸ πού μνημονεύεται ἀμέσως παρακάτω (στ. 11) ὅτι στάλθηκε «*εἰς Σμύρνην κατὰ τὸν παρελθόντα ... 'Οκτώβριον*».

14-16. *τὰ τέλη τοῦ 'Ιανουαρίου τὸ πολυπόθητόν μοι καὶ ἱερόν σου καὶ ὑπερήμερον (κατὰ γὰρ τὴν βαν τοῦ Νοεμβρίου ἐγέγραπτο) γράμμα... δεξάμενος.* — Πρόκειται πάλι (βλ. καὶ Γ' στ. 32-33) γιὰ τὸ γράμμα τοῦ Βουλησμᾶ ὑπ' ἀριθ. Α' (τῆς 2 Νοεμβρίου 1780), πού ὁ Μπενιζέλος τὸ ἔλαβε μόλις τὸν 'Ιανουάριο τοῦ 1781.

23-24. *διὰ τοῦ ἐν Ὕδρᾳ κοινοῦ γνωρίμου Πιέρου Βρετοῦ.*— Δὲν μπορέσαμε νὰ βροῦμε πληροφορίες γιὰ τὸν Ὑδραῖο αὐτό.

31-32. *διὰ τοῦ γράμματος τοῦ σιὸρ Παναγιωτάκη Νοταρᾶ.* — Ἄγνωστο μᾶς εἶναι καὶ τὸ πρόσωπο αὐτό. Δὲν μνημονεύεται οὔτε στὴ μονογραφία τοῦ ΣΤΑΥΡΟΥ Α. ΚΟΥΤΙΒΑ, *Οἱ Νοταράδες στὴν ὑπηρεσία τοῦ Ἔθνους καὶ τῆς 'Εκκλησίας*, 'Αθῆναι 1968. Φαίνεται πὼς ἦταν κοινὸς φίλος τοῦ Βουλησμᾶ καὶ τοῦ Μπενιζέλου καὶ διαμέσου του ὁ πρῶτος διαμηνοῦσε ἐπιθυμίες του στὸ δεύτερο (βλ. καὶ παρακάτω, στ. 68-69) καὶ πὼς διέμενε στὴν Κωνσταντινούπολη (βλ. Ε', στ. 15).

33-34. *διὰ τοῦ παρόντος γραμματοκομιστοῦ κὺρ 'Ιωαννικίου.*— Ὁ γραμματοκομιστὴς αὐτός, πού μνημονεύεται καὶ παρακάτω (στ. 68-69), καθὼς καὶ στὸ γράμμα Ε' (στ. 7, 14), πρέπει νὰ ἦταν 'Αθηναῖος μαθητὴς τοῦ Μπενιζέλου πού πῆγε στὴν Κωνσταντινούπολη.

36 κ.ἑξ. *Τὸν μὲν οὖν πρός σέ μου πόθον...* — 'Εδῶ ὁ Μπενιζέλος ἐπαναλαμβάνει, σχεδὸν κατὰ λέξη, ὅσα ἔγραψε καὶ στὸ ἀμέσως προηγούμενο γράμμα του (Γ', στ. 38 κ.ἑξ.) πρὸς τὸ Βουλησμᾶ γιὰ τὸ στενὸ φιλικό τους σύνδεσμο καὶ γιὰ τὸ ἔργο του *Διδασκαλία Χριστιανική*, πού τοῦ τὸ στέλνει γιὰ νὰ τὸ κρίνει καὶ νὰ τὸ ἐκδώσει. Φαίνεται πὼς μὲ τὸ προηγούμενο γράμμα του αὐτὸ τοῦ εἶχε ἀναγγείλει ἁπλῶς τὴ συγγραφὴ τοῦ ἔργου του, χωρὶς καὶ νὰ τοῦ τὸ στείλει καὶ τώρα πού τοῦ τὸ στέλνει δὲν ἔκρινε περιττὸ νὰ ἐπαναλάβει ὅσα ἔγραψε καὶ στὸ προηγούμενο γιὰ τὸ ἔργο του αὐτό.

67-68. *κομίσῃ οὖν αὐτὴν μετὰ καὶ τῆς* Λογικῆς *τοῦ Βλεμμύδου.*— Ὁ Βουλησμᾶς ἔλαβε ἀπὸ τὸν 'Ιωαννίκιο καὶ τὸ χειρόγραφο τῆς *Διδασκαλίας Χριστιανικῆς* τοῦ Μπενιζέλου καὶ τὸ χειρόγραφο τῆς *Λογικῆς* τοῦ Βλεμμύδη, ἀφοῦ βεβαιώνει τὴ λήψη των στὸ ἑπόμενο γράμμα Ε' (στ. 5-6).

Ε'

Ο ΔΩΡΟΘΕΟΣ ΒΟΥΛΗΣΜΑΣ ΠΡΟΣ ΤΟΝ ΙΩΑΝΝΗ ΜΠΕΝΙΖΕΛΟ

Κωνσταντινούπολη 1781
(κῶδ. μονῆς Παντελ. Ἁγ. Ὄρους 513, σ. 171-176) 'Ιουλίου 23

Π ε ρ ί λ η ψ η. — Ὁ Βουλησμᾶς βεβαιώνει τὴ λήψη τοῦ γράμματος τοῦ Μπενιζέλου [=Δ'] μαζὶ μὲ τὸ πόνημά του *Χριστιανικὴ Διδασκαλία* καὶ μὲ τὴ *Λογικὴ* τοῦ Βλεμμίδη, πού τοῦ τὰ ἔφερε ὁ μαθητὴς τοῦ ἀποδέκτη 'Ιωαννίκιος, ἀπὸ τὸν ὁποῖο, καθὼς καὶ ἀπὸ τὸ γέροντα Σαμουήλ, πληροφορήθηκε ἀκριβέστερα τὴν ἀξιοθρήνητη κατάσταση τῆς 'Αθήνας. 'Εξ αἰτίας τῆς ἀσθενείας του καὶ τοῦ ἀπειλητικοῦ λοιμοῦ, ὁ Βουλησμᾶς μετῴκησε ἀπὸ τὸ [Ἁγιοταφίτικο] Μετόχι στὸ Μέγα Ρεῦμα καὶ καθυστέρησε νὰ τοῦ ἀπαντήσει. Ἡ σημερινή του ἀπάντηση δὲν περιέχει εὐχάριστα: Ἡ ἔκδοση τοῦ ἔργου τοῦ Μπενιζέλου εἶναι πολὺ δύσκολη. Μερικοὶ ἀπὸ τοὺς στυλοβάτες [τῆς 'Ορθοδοξίας], πού ἔλαβαν γνώση τοῦ ἔργου ἀπὸ τὸ Βουλησμᾶ, τὸ ἐπέκριναν. 'Ισχυρίζονται ὅτι, ἐνῷ περιλαμβάνει ψόγους ἰδιαίτερους γιὰ τοὺς 'Αθηναίους, δὲν δηλώνεται στὴν ἐπιγραφή του ὅτι γράφτηκε εἰδικὰ γι' αὐτούς, ἀλλὰ γενικὰ γιὰ ὅλους. Ἔπειτα, καὶ ἂν ἀκόμη ἡ ἐπιγραφὴ εἶχε διατυπωθεῖ εἰδικὰ γι' αὐτούς, καὶ πάλι ὁ τρόπος τῆς ἐκθέσεως αὐτὸς εἶναι ἀνοίκειος καὶ γιὰ ποιμαίνοντες καὶ γιὰ ποιμαινομένους. Ὅλα αὐτὰ ὁ Βουλησμᾶς τὰ ἀντέκρουσε σθεναρά, ἀλλὰ δὲν ἔκρινε φρόνιμο, ἀφοῦ ἐκεῖνοι δὲν ἐδέχτηκαν νὰ συνεργήσουν στὴν ἔκδοση, νὰ ἐξάψει τὴν πολεμικὴ ἐναντίον του καὶ ἐναντίον τοῦ Μπενιζέλου. Ἔχει ὑπ' ὄψει του ὅσα ἐνήργησαν κατὰ τοῦ *Ταμείου 'Ορθοδοξίας* τοῦ Καμπανίας [Θεοφίλου] καὶ τὴ διαμάχη του, τὸν περασμένο χρόνο, μὲ μερικοὺς «λογάδες» γιὰ τὴν ἔκδοση τῆς *«'Εκκλησιαστικῆς 'Ιστορίας»* τοῦ Μελετίου 'Αθηνῶν, πού τὴ ματαίωσαν *«διὰ τὸ φιλαλήθως ἅπτεσθαι τῶν μελανειμόνων»*. Ὁ Βουλησμᾶς παρακάλεσε καὶ ἄλλους, ἀλλὰ ἀπέφυγαν. Ἡ ἀρνητικὴ αὐτὴ θέση των ἐξηγεῖται ἀπὸ τὸ δισταγμό των νὰ διαθέσουν τὸ χρῆμα των γιὰ ἄδηλα πράγματα, μὲ κίνδυνο νὰ χάσουν καὶ τόκους καὶ κεφάλαια. Σ' αὐτὸ τὸ θλιβερὸ σημεῖο ἔχουν φτάσει τὰ πράγματα. Πρέπει νὰ θρηνήσει κανεὶς καὶ νὰ ἐπικαλεσθεῖ τὴ βοήθεια τοῦ Θεοῦ, τοῦ μόνου πού μπορεῖ νὰ βοηθήσει. Ὁ Βουλησμᾶς ἐπιχειρεῖ νὰ ἐλαφρύνει τὴ λύπη τοῦ φίλου του μὲ παρηγορητικὰ λόγια.

σ. 171 Λογιώτατε ἀνδρῶν καὶ φίλων ἐμοὶ πεποθημένε φίλτατε κύριε Ἰωάννη, ὁλοψύχως σε εὐχόμενος κατασπάζομαι.

Προλαβόντως περὶ τὰς εὐρωτιώσας ἐκείνας καὶ σκωληκιώσας ἀσχολουμένῳ τοῦ θεοδέγμονος Τάφου βίβλους, ἡ παρ' αὐτῆς ὡς εὐκταία μοι καὶ ἐπιπόθητος ἐπιστολὴ μετὰ τῆς πονηθείσης σοι Χριστιανικῆς Διδασκαλίας καὶ τῆς τοῦ Βλεμμύδου Λογικῆς παρὰ τοῦ σοῦ δέδοται μαθητοῦ κυροῦ Ἰωαννικίου, παρ' οὗ καὶ λευκότερον ἔγνων, ὡς καὶ παρὰ τοῦ γέροντος Σαμουήλ, τὴν πολλῶν θρήνων τε καὶ
σ. 172 γόων ἀξίαν κατάστασιν τῆς πόλεως ὑμῶν· / ἱκανοὶ δ' ἂν εἶεν οὗτοι αὐτοὶ καὶ ἐχέγγυοι τὴν πλειόνων, φεῦ, θρήνων καὶ οἰμωγῶν ἀξίαν κατάστασιν τῆς ἐπ' ἀνοσίοις μᾶλλον ἢ ὁσίοις ἀναπνεούσης τῶν πόλεων ἔργοις ἐκτραγῳδῆσαι, εἴ γε, ὡς οἶμαι, ἐπαλινδρόμησαν. ὡς οἶμαι φημί, ἐπείπερ οὐκ οἶδα, εἰ κατάπαυσιν εὗρε τοῖς ποσὶν αὐτοῦ εἰς τὰ ὧδέ που ὁ Ἰωαννίκιος στῆναι, οὐκ οἶδα δέ, ὅτι μετὰ τὸ βουλευθῆναι σὺν τῷ κυρῷ Παναγιωτάκη καὶ τῷ γέροντι Σαμουήλ, ὡς κρεῖττον μεταστῆναι αὐτὸν μεθ' ὧν φυγαδεύων ἐμάκρυνεν ἀφ' ἡμῶν ἢ στῆναι, ἀμφιγνοῶ, εἰ κατὰ τὴν βουλὴν ἡμῶν μεταστῆναι ἔγνω. ἡ γὰρ ἐκ τοῦ ἐνοικοῦντός μοι πυρετοῦ ἀναμοχλεύσασά με νόσος, ὅ τε ἐκ τῆς δυσκρασοῦς τῶν πολλῶν ἐκείνων βίβλων αὐχμώδους τε καὶ εὐρωτιώδους ἀπομαχθείσης μοι ὕλης ἐπιτεχθεὶς βὴξ καὶ ὁ ἐπαπειλῶν ἡμᾶς λοιμὸς μετανάστην με γενέσθαι ἀπὸ τοῦ Μετοχίου εἰς τὸ Μέγα Ρεῦμα πεποιήκασι. ταῦτα δ' οὐ μόνον εἰδέναι τε περὶ αὐτῶν τῶν λοιπῶν, ἀλλὰ καὶ πρὸς ὑμᾶς οὕτω βραδέως με ἀπαντῆσαι τοὺς ἀείποτε κατοπτριζομένους καὶ ἀναπεμπαζομένους μοι ἐβιάσατο. ὢ τῆς ζημίας! ἀλλὰ γὰρ καὶ νῦν, βάπτων τὸν κάλαμον εἰς ἀπάντησιν, οὐκ ἀδακρυτί, ἀλλὰ καὶ ὀλοφυρόμενος σφόδρα ὑμῖν ἀπαντῶ, ὡς μὴ κατὰ θυμὸν ἴσως οὔσης τῆς ἀπαντήσεως. τοῦτο μὲν διὰ τὸ πάνυ, ὡς τεκμαίρομαι, δυσχερὲς τῆς τοῦ σοῦ χριστιανικοῦ πονήματος εἰς τύπον ἐκδόσεως, τοῦτο δέ, τῆς περὶ οὗ μοι ἰδιαίτερον γέγραφας ἀποτυχίας. εἴτουν δὲ τοῦ μὲν δυσχεροῦς τῆς ἐκδόσεως, ὅτι οὐ καθόλου καὶ κατὰ παντὸς κατηγοροῦντος τοῦ ἡμετέρου γένους τὰ ἐν αὐτῇ τῇ Χριστιανικῇ Διδασκαλίᾳ καταφερόμενα μωμήματα, εἰπόν μοί τινες τῶν δοκούντων εἶναι στύλων εἰς ἐπίκρισιν λαβόντες, ὡς
σ. 173 εἰκός, παρ' ἐμοῦ / αὐτήν, οὔτε μὴν διὰ τοὺς ἐν Ἀθήναις ἰδιαζόντως πονηθεῖσα ἐπιγέγραπται, ἀλλὰ διὰ τὸ καθόλου. εἶτα καὶ ἰδιαζόντως εἴπερ πεπόνητό τε καὶ ἐπεγέγραπτο, ὁ τοῦ λέγειν οὑτοσὶ τρόπος, καὶ μάλιστα ἐν Χριστιανικῇ Διδασκαλίᾳ, οὐδὲ ποιμαίνοντι, πολλοῦ γε καὶ δεῖ, ἀνθυπήνεγκάν μοι, ποιμαινομένῳ οἰκεῖος. ἔγωγε οὖν ἀπήντηκα μὲν πρὸς ταῦτα καὶ τὰ τοιαῦτα πάντα γενναίως,

οὐ κέκρικα δέ, μὴ ἐνδόντων ὅλως ἐκείνων, συνεργῆσαι διὰ τὴν ἔκδοσιν, ἵνα μὴ τὰ συνεκδοχικῶς ὑπακουόμενα βέλη κατ' ἐμοῦ τυχὸν ἢ τὰ κατὰ σοῦ ἐκπυρώσω, εὖ εἰδὼς ὅσαπερ καὶ κατὰ τοῦ Καμπανίας περὶ τοῦ τῆς Ὀρθοδοξίας Ταμείου πονηματίου αὐτοῦ ἐξεπύρωσαν, καὶ οἷός μοι ὑπὲρ αὐτοῦ τὸν παρελθόντα χειμῶνα μετά τινων λογάδων ἐνέστη ἀγών, ὡς τὰ περὶ τοῦ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας τοῦ μακαρίου Μελετίου τοῦ Ἀθηνῶν πονήματος, περὶ οὗ πολλάκις, οἶμαι, διείλεγμαι μεθ' ὑμῶν, τὸ χρήσιμον ἐνδεικνυόμενος ὅσον. ἀλλὰ καὶ τοῦτο, οἴμοι, διὰ τὸ φιλαλήθως ἅπτεσθαι τῶν μελανειμόνων, ὠβέλισται παρ' αὐτοῖς. Τούτων τοίνυν οὕτως ἐχόντων, ἔχεις, πέποιθα, ἐκ τῶν εἰρημένων τοῦ πάνυ δυσχεροῦς τῆς τοῦ πονήματός σου ἐκδόσεως τὸ ὑπαίτιον. τῆς δέ γε τοῦ σοῦ ἐμπόνου αἰτήματος ἀποτυχίας, εἰ καὶ ἄλλως ἄλλοι μεγάλως παρακληθέντες παρ' ἐμοῦ, ἐγκαλυπτόμενοι οἱονεὶ καὶ ἐρυθριῶντες ἀπεκρίναντο. ἀλλ' οὖν, εἴ τι ἐγὼ τῆς πολυκτήμονος ἐκείνων ξυνίημι γνώμης καὶ διαθέσεως, αἴτιον οὐκ ἂν εἴη ἄλλο τῆς ἀλλοπροσάλλου αὐτῶν ἀπαντήσεως, εἰ μὴ ὅτι ἐπ' ἀδήλοις ὑποκειμένοις τὸ ἀργύριον αὐτῶν ἐπιδοῦναι εἰς τὸν ἐθάδε τόκον, ἀκτήμονα ἐγγυούμενοι, μὴ ὅτι γε τόκον, ἀλλ' οὐδὲ κεφάλαιον τὸ δυσπειθὲς καὶ φιλοκτῆμον αὐτῶν ἐπαναλαβεῖν ὑπονοεῖν δίδωσιν. Εἰς τοσοῦτον, ἀγαπητέ, τά τε τῆς
σ. 174 πονηρίας καὶ ἀπιστίας / καὶ ἀφιλαδελφίας καὶ ψυχρότητος ὑπέρ ποτε τῆς ὄντως ἀγάπης εἰσέφρησεν. ἔνθεν τοι καὶ θρῆνον ἐπὶ χειλέων ὑπὲρ τούτων ἀναλαμβάνειν ἡμᾶς χρεών, καὶ ὑπὲρ πάντων τῶν ἀναγκῶν ἡμῶν, ὅπως αὐτῶν μὲν τὸ ἀτέραμνον καὶ ἄκαμπτον εἰς τὸ φιλάδελφον τὸ θεῖον ἄνωθεν κάμψειεν, ἡμῶν δὲ τὰς ἀνάγκας, οἷς οἶδεν ἀῤῥήτοις λόγοις παραμυθήσειε, τὸ καὶ τοῖς σκώληξιν αὐτοῖς καὶ τοῖς κόραξι διηνεκῆ ποιούμενον πρόνοιαν. ἀψευδῶς γάρ, φησίν, οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω. εἰ γὰρ καὶ θλίψεις ἡμῖν ἐπάγει πολλάκις ὁ Κύριος, καὶ διὰ βίου, ἀλλὰ συμφερόντως, εἰς ἐπίγνωσιν δηλ. τῆς μόνης τωόντι ἐκεῖσε ἀλύπου ἀνέσεως, ἢ δι' ἱκανοποίησιν τῶν πολλῶν καθ' ἑκάστην παραπτωμάτων ἡμῶν, οὐκ ἀγνοεῖ δ' ὅτι καὶ διὰ δοκιμὴν τῆς ὑπομονῆς ἡμῶν καὶ διὰ δόξης αὔξησιν καὶ διὰ πολλῶν ἄλλων ὑπόδειγμα ταύτας πολλάκις ἐπάγει. εἶτα, οὐ μεθ' ὑπερβολῆς οὐδὲ ὑπὲρ ὃ δυνάμεθα μαστίζει. καὶ οἶδέ μοι πρὸ πάντων ἡ πρὸς τὰς τοιαύτας φιλοσοφεῖν προτρέπουσα γενναία τε αὐτῆς καὶ φιλόσοφος ψυχή. μὴ γὰρ οὐχὶ τοῖς χήτει τῶν

67. Hebr. 13. 5.

57. γράφε ἐνθάδε || γράφε ἐγγυώμενοι || 62 γράφε πασῶν

ἀναγκαίων πιεζομένοις θερμὸς ἀντιλήπτωρ καὶ παρακλήτωρ διὰ
πεπυρωμένων λόγων καὶ λαμπροῦ ἐκτυπώματος ἀναδείκνυσαι; ἢ
τῶν εἰς αὐτὸ τὸ τῆς ἀπογνώσεως καταντῶντας ἔσχατον οὐκ ὀρεκτι-
κὴ ἀναφαίνῃ σὴ ὁσημέραι χεὶρ καὶ γλῶττα χρηστοεπὴς καὶ χριστο-
τερπὴς εἰς αὐτὰ τὰ περιμένοντα αὐτοὺς καὶ διαμένοντα ἀθέατα καὶ
ἀνέκφραστα κάλλη εὐστρόφως ἀπὸ τοῦ τῆς ἀπονοίας βυθοῦ ἐπανά-
γουσα; καὶ ᾤου μοι τὸν τοιοῦτον, ὦ ἄνερ, ποτὲ τῶνδε ἢ ἐκείνων
κρείττω εἶναι τῶν δυσχερειῶν; ἢ οὐκ οἶδας ὡς ἡ τοῦ φιλοσόφου
ψυχή, καθάπου, τὸν ὄντως καθυπογράφων φιλόσοφον, ὁ τῆς θεο-
σ. 175 *λογίας ἐμ/φαίνει ἐπώνυμος, τῷ αὐτῷ ἔοικε πάντως ἐκείνῳ ὃ μᾶλλον*
θάλλει κοπτόμενον; οὕτω δὴ καὶ τὸν χριστιανικῶς φιλοσοφεῖν αἱ-
ρούμενον οἷον μοι. ὅσῳ γὰρ τοῖς λυπηροῖς βαπτίζεται, τοσούτῳ
λαμπρότερος ἀναδείκνυται. εἰ δέ σοι, κατὰ τὸν πολὺν καὶ πάλιν
ἐν θεολογίᾳ Γρηγόριον, μηδὲν ἐλπίζετο δυσχερές, ὁπόταν προβαί-
νειν τῇ φιλοσοφίᾳ ἔμελλες, ὁ φιλόσοφος, ἡ ἀρχή, καὶ τοὺς πλάστας
μεμφομένη. ἢ γὰρ προσεδοκᾶτο καὶ οὐκ ἀπήντησεν ἢ καρτέρει πά-
σχων ἢ ἔπιθι ψευσάμενος τὴν ὑπόσχεσιν. Σὺ οὖν μοι, ἀγαπητέ,
μὴ ταῦτά μου οὕτως εἰς μικρὰν τῶν δυσχερῶν σοι παράκλησιν
παρεισάγοντος διὰ τὴν ἐπίτευξιν δυσχεράνοις ὅλως, οὐδ᾽ ἐρεῖς τυ-
χόν, καὶ πόθεν μοι μνηστευθήσεται ἄλλοθεν ἡ παράκλησις; ὅτι
ῥᾶον, πάντως ἄλλοθεν πληρωθήσεται ἡ τοιάδε παράκλησις ἢ δι᾽
ἐμοῦ, ἂν εἶναι, ὥς μοι γράφεις, θέλημα Θεοῦ. ὃς ἀεὶ ποιεῖν τὸ θέ-
λημα τῶν φοβουμένων αὐτὸν ἡμῖν ἐπαγγέλλεται, καθάπερ καὶ πρὸ
τοῦ αἰτῆσαι ἡμᾶς δόματα ἀγαθὰ διδόναι ἐπίσταται. Ἀνδρίζου, ἄρ᾽
οὖν, ὦ φοβούμενε σὺ τὸν Θεόν, χρηστέ μου γεννάδα, καὶ οὐδὲν πάν-
τως τῶν ἀγαθῶν δομάτων ὃ οὐκ ἐν τάχει σοι, ὥσπερ καὶ δέδοται,
δοθήσεται παρ᾽ αὐτοῦ. παρ᾽ οὗ καὶ εἴης μοι κραταιούμενος καὶ δια-
θερμαινόμενος εἰς τὸ ἔργον αὐτοῦ ἐν εὐρώστοις τε καὶ πολυαρίθμοις
ἔτεσιν.

Ἐκ Κωνσταντινουπόλεως. ͵αψπαφ. Ἰουλίου κγῃ.
Δωρόθεος Ἱερομόναχος ὁ Βουλησμᾶς καὶ πρὸς Θεὸν αὐτῆς
εὐχέτης διάπυρος

Τὴν ἐν Κυρίῳ μοι ἀγαπητὴν καὶ πολυέραστον αὐτῆς σύζυγον
μετά τε τῶν τέκνων καὶ τῶν φιλτάτων μοι αὐτῆς πενθερῶν καὶ τῶν
λοιπῶν οἰκείων καὶ συγγενῶν καὶ πάντων ἑνὶ λόγῳ τῶν καταπο-
σ. 176 *νουμένων θερμότατα / ἀσπαζόμενος εὔχομαιἐν Κυρίῳ. ἐπὶ πᾶσι δὲ*
τὸν ἐρασμιώτατόν μοι καὶ σεβασμιώτατον ὁλοπόλιον διδάσκαλον κύ-

78. γράφε *καταντώντων*

ριον Ἀθανάσιον ἐν ἁγίῳ περιπτυσσόμενος ἀσπάζομαι πνεύματι, ὁ-
μοίως καὶ τὸν παμφίλτατόν μοι καὶ παντάριστον διδάσκαλον κῦρ
Δημήτριον. ὑπὲρ οὗ πῶς δοκεῖτε; δέδηγμαι, πάνυ δέδηγμαι τὴν
καρδίαν, ἀγαπητοί, μεταστήσας αὐτὸν εἰς τὰ αὐτόθι μείζονος ἕνεκα
καρποφορίας, μὴ ἐνδεικνυομένης οὐδὲ ἐλάττονος, τῆς ὑμῶν ἕνεκα
ἀμελείας καὶ τῆς ὑπὲρ τοῦ συμπεφωνηθέντος αὐτῷ ἐτησίου μισθοῦ
ἀνενδότου ἰσχυρογνωμοσύνης. ὃς πενταπλάσιος κατεβάλλετο πάν-
τως αὐτῷ, εἴπερ ἐνταῦθα παρῆν. ἆρα οὖν ὅσα ἂν κατ᾽ ἐμοῦ, τοῦ
πρωταιτίου τῆς μεταστάσεως, ὁ ἀνὴρ ἐρεῖ, οὐκ ἐνδίκως ἐρεῖ; οἴμοι
τῷ δυστήνῳ, πῶς τῶν ἐλπίδων ἐψεύσθην.

ΣΧΟΛΙΑ

4. *τοῦ θεοδέγμονος Τάφου βίβλους.* — Πρόκειται γιὰ τὰ χειρόγραφα τοῦ Μετοχίου τοῦ Παναγίου Τάφου στὴν Κωνσταντινούπολη, τῶν ὁποίων εἶχε ἀναλάβει τὴν τακτοποίηση, μὲ βλάβη τῆς κακῆς του ὑγείας, ὁ Βουλησμᾶς (βλ. καὶ παρακάτω, στ. 19-20 καὶ Νικ. Γρ. Ζαχαροπουλου, *Δωρόθεος Βουλησμᾶς*, σ. 51-52).

4-6. *ἡ παρ᾽ αὐτῆς... ἐπιπόθητος ἐπιστολὴ μετὰ τῆς πονηθείσης σοι* Χριστιανικῆς Διδασκαλίας *καὶ τῆς τοῦ Βλεμμύδου* Λογικῆς. — Πρόκειται γιὰ τὸ γράμμα Δ′ τοῦ Μπενιζέλου καὶ γιὰ τὰ χειρόγραφα ποὺ ὁ μαθητής του Ἰωαννίκιος ἔφερε στὸ Βουλησμᾶ.

8. *ὡς καὶ παρὰ τοῦ γέροντος Σαμουήλ.* — Ὁ Σαμουὴλ (βλ. καὶ στ. 15-17) θὰ ἦταν Ἀθηναῖος, ποὺ ἦλθε, μαζὶ μὲ τὸν Ἰωαννίκιο, στὴν Κωνσταντινούπολη καὶ μετέφερε στὸ Βουλησμᾶ τὰ νέα τοῦ Μπενιζέλου καὶ τῆς Ἀθήνας. Διστάζω νὰ τὸν ταυτίσω μὲ τὸν ἱερομόναχο Σαμουὴλ Κουβελάνο, διδάσκαλο ἀργότερα (1789-1810) τῆς Σχολῆς τοῦ Κοινοῦ τῶν Ἀθηνῶν (βλ. Γ. Σ. Πλουμιδη, «Σχολεῖα στὴν Ἑλλάδα...», *Θησαυρίσματα*, τόμ. 9 (1972), σ. 244 καὶ σημ. 74 καὶ Ιω. Μπενιζελου, *Ἱστορία τῶν Ἀθηνῶν*, σ. 122).

15. *σὺν τῷ κυρῷ Παναγιωτάκῃ.* — Πρόκειται πιθανότατα γιὰ τὸν Παναγιωτάκη Νοταρᾶ, ποὺ μνημονεύεται καὶ στὸ γράμμα Δ′ τοῦ Μπενιζέλου, στ. 31-32 (βλ. Σχόλια).

33. *τινὲς τῶν δοκούντων εἶναι στύλων.* — Ὁ Βουλησμᾶς ἀποφεύγει νὰ κατονομάσει τοὺς θεωρούμενους στυλοβάτες τῆς Ὀρθοδοξίας στὴν Κωνσταντινούπολη, ποὺ ἔψεξαν τὴ *Διδασκαλία Χριστιανικὴ* τοῦ Μπενιζέλου.

42-44. *ὅσαπερ καὶ κατὰ τοῦ Καμπανίας περὶ τοῦ τῆς* Ὀρθοδοξίας Ταμείου *πονηματίου αὐτοῦ ἐξεπύρωσαν.* — Ἐννοεῖ τὴν πρώτη ἔκδοση (Βενετία 1780) τοῦ *Ταμείου Ὀρθοδοξίας* τοῦ ἐπισκόπου Καμπανίας Θεοφίλου (βλ. γι᾽ αὐτὸν Σωφρ. Ευστρατιαδου, «Ὁ Καμπανίας Θεόφιλος ὁ ἐξ Ἰωαννίνων», *Ἠπειρωτικὰ Χρονικά*, τόμ. 2 (1927), σ. 54-97 καὶ 245-266.— *Νομικὸν ποιηθὲν ... εἰς ἁπλῆν φράσιν* ὑπὸ... Καμπανίας Θεοφίλου... (1788), κριτ. ἔκδ. Δ. Σ. Γκινη, Θεσσαλονίκη 1950, σ. ι′ - μθ′. — Δ. Σ. Γκινη, «Τὸ «κοινάριον» τοῦ Καμπανίας Θεοφίλου», *Πρακτικὰ τῆς Ἀκαδημίας Ἀθηνῶν*, τόμ. 22 (1957), σ. 247-251.— Του Ιδιου, «Ἡ βιβλιοθήκη τοῦ Θεοφίλου Καμπανίας (Ὁ πνευματικὸς κόσμος ἑνὸς φιλελεύθερου Δεσπότη)», *Ὁ Ἐρανιστής*, τόμ. 1 (1963), σ. 33-40). Ἐκτενὴ ἀναγραφὴ τῶν περιεχομένων τῆς τρίτης ἔκδοσης (ἡ δεύτερη εἶναι τοῦ 1788) τοῦ *Ταμείου Ὀρθοδοξίας* (Βενετία 1804) βλ. στοῦ Ν. Α. Βεη, «Κατάλογος τῶν χειρογράφων καὶ παλαιοτύπων τῆς Δωροθέας Σχολῆς τῶν Θεσσαλικῶν Τρικκάλων», *Ἐπετηρὶς τοῦ Μεσαιωνικοῦ Ἀρχείου* τῆς Ἀκαδημίας Ἀθηνῶν, τόμ. 5 (1955), σ. 30-46 (ἀριθ. 14).

ϛ'

Ο ΙΩΑΝΝΗΣ ΜΠΕΝΙΖΕΛΟΣ ΠΡΟΣ ΤΟ ΔΩΡΟΘΕΟ ΒΟΥΛΗΣΜΑ

Ἀθήνα 1781

(Αὐτὸ ἔγγρ. μονῆς Παντελ. Ἁγ. Ὄρους, 290×200) (βλ. εἰκ. 5)

Ὀκτωβρίου 3

Περίληψη. — Ὁ Μπενιζέλος παραπονεῖται στὸ Βουλησμᾶ γιατὶ δὲν τοῦ γράφει. Δὲν πρέπει νὰ τιμωρεῖ ἢ νὰ δοκιμάζει τὸ φίλο του μὲ τὴ σιωπή. Τὸν παρακαλεῖ νὰ τοῦ γράψει καὶ νὰ τὸν πληροφορήσει γιὰ τὸ φιλοπόνημα ποὺ τοῦ ἔστειλε ὁ Μπ., πῶς τὸ βρῆκε καὶ ἂν κρίθηκε ἄξιο νὰ τυπωθεῖ. Ὁ Μπ. θὰ θεωρήσει ἑορτάσιμη τὴν ἡμέρα ποὺ θὰ λάβει γράμμα του.

»τῷ σεβασμιωτάτῳ μοι καὶ τριποθήτῳ διδασκάλῳ καὶ πνευματικῷ πατρὶ κυρίῳ Δωροθέῳ τὴν μετ' αἰδοῦς καὶ εὐλαβείας προσκύνησιν καὶ τὸν ἐγκάρδιον ἀσπασμὸν ἀπονέμω.

† Ἔδει με ἄρα πρὸς τοῖς ἄλλοις ἀνιαροῖς καὶ τῆς παρὰ σοῦ στερηθῆναι εὐνοίας καὶ τῆς ἱερᾶς σου μνήμης διαπεσεῖν, ἧπερ ἐγὼ ὡς οὐδεὶς ἄλλος ἐνηβρυνόμην οὐχ ἧττον ἢ ἐπὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς χαμαὶ ἐρχομένοις τῶν ἀγαθῶν ἕτεροι καὶ ἣν ἐμαυτῷ κρείττονα ἐπηρείας ἁπάσης καὶ τῶν ἐξ εἱμαρμένης ῥευμάτων ἤλπιζον διαμένειν. ταὐτά με ποιεῖ ὁσημέραι τὸ πάθος κατ' ἐμαυτὸν ἀποδύρεσθαι καὶ τοιούτοις λογισμοῖς ταλαντεύεσθαι, ἐκ τῆς τῶν σοφῶν σου γραμμάτων στερήσεως δηλονότι ἔχοντα τὸ ἐνδόσιμον. ἐπικουφίζομαι δ' αὖθις οὐ μικρὸν τοῦ τῆς ἀθυμίας φορτίου καὶ πρύμναν κρούομαι, τὸ τοῦ λόγου, καὶ μετέωρος γίνομαι ταῖς ἐλπίσιν, ἐπειδὰν εἰς νοῦν ἀναλάβω τὴν φιλόστοργον καὶ φιλόσοφόν σου ψυχήν, τὴν μηδέποτε μὲν τῶν οἰκείων τέκνων, ἃ διὰ τοῦ Εὐαγγελίου εἰσεποιήσατο, ἐπιλήσμονα γινομένην, ἀείποτε δὲ πάντα τὰ καὶ λεγόμενα καὶ πραττόμενα πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἐξακριβοῦσαν καὶ κατευθύνουσαν. τί οὖν θαυμαστόν, εἴ γε τῇ θεοκινήτῳ σου κρίσει ἔδοξεν οὕτως τιμωρήσασθαί με χρόνον συχνὸν διὰ τῆς σιωπῆς ἢ γυμναζούσης ἢ δοκιμαζούσης τὸ φίλτρον; Παρακαλῶ δ' οὖν μὴ ἐπιθεῖναι τὴν τιμωρίαν, ἀλλ' ὀψέποτε τοῖς χρυσοῖσιν καὶ ὑπὲρ μέλι καὶ κηρίον γλυκυτέροις μοι γράμμασι κατατέρψαι με, δηλοποιοῦσι τά τε ἄλλα καὶ περὶ τοῦ προαποσταλέντος ἐκείνου φιλοπονήματος, οἷον ὤφθη δηλονότι τῇ κριτικωτάτῃ αὐτῆς διασκέψει καὶ θεωρίᾳ,

12-13 Thuc. 1. 51. 54, 3. 78



Εἰκ. 5. Γράμμα αὐτόγραφο τοῦ Ἰω. Μπενιζέλου (Ἀθήνα, 3 Ὀκτωβρίου 1781) πρὸς τὸ Δωρόθεο Βουλησμᾶ (Παράρτημα, II, ἀριθ. ϛ', σ. 80-82).

καὶ εἴ γε τῆς ἐν τύποις ἐκδόσεως ἄξιον ἐπεκρίθη. ὡσαύτως (εἰ βούλει) καὶ περὶ τῆς ἐν τῷ γραμματίῳ ὑποθέσεως. ἑόρτιον γὰρ ἀτεχνῶς ἐπιτελέσω ἡμέραν, καθ' ἣν τὴν ἱερὰν κομίσωμαι ἐπιστολήν. Ἔρρωσο καθ' ἑκάτερα ἐς μακραίωνας, ἐπὶ τοῖς θεαρέστοις καὶ κοινωφελέσιν ἐγχειρήμασιν εὐοδούμενος καὶ ἀεὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος, ἐμοῦ τε τοῦ ἀναξίου καὶ εὐτελοῦς ἀδιαλείπτως τῷ Κυρίῳ ὑπερευχόμενος. αψπαφ. ὀκτωβρίου γη.

Ἀθήνηθεν.

τὸ σὸν προσφιλέστατον καὶ εὐτελὲς κατὰ πνεῦμα τέκνον
Ἰωάννης Μπενιζέλος

ΣΧΟΛΙΑ

23-25. *καὶ περὶ τοῦ προαποσταλέντος ἐκείνου φιλοπονήματος, οἷον ὤφθη δηλονότι τῇ κριτικωτάτῃ αὐτῆς διασκέψει καὶ θεωρίᾳ καὶ εἴγε τῆς ἐν τύποις ἐκδόσεως ἄξιον ἐπεκρίθη.* — Ἀπὸ τὴν περικοπὴ αὐτὴ φαίνεται ὅτι ὁ Μπενιζέλος, γράφοντας στὶς 3 Ὀκτωβρίου 1781 στὸ Βουλησμᾶ, δὲν εἶχε λάβει ἀκόμη τὸ γράμμα του τῆς 23 Ἰουλίου (Ε'). Θὰ τὸ λάβει λίγο ἀργότερα καὶ θὰ τοῦ στείλει τὴν ἀπάντηση (= γράμμα Ζ', τῆς 30 Δεκεμβρίου 1781) μὲ τὸν πενθερό του, ποὺ πῆγε στὴν Κωνσταντινούπολη τὸν Ἰανουάριο τοῦ 1782 (βλ. γράμμα Θ', στ. 3-9).

25-26. *ὡσαύτως (εἰ βούλει) καὶ περὶ τῆς ἐν τῷ γραμματίῳ ὑποθέσεως.* — Ποιὸ ἦταν αὐτὸ τὸ «γραμμάτιον» καὶ γιὰ ποιὰ ὑπόθεση ἔκανε λόγο, μᾶς εἶναι ἄγνωστο. Ἴσως γιὰ τὸ χρέος τοῦ Μπενιζέλου, γιὰ τὸ ὁποῖο γίνεται λόγος στὸ γράμμα Η' τοῦ Βουλησμᾶ (βλ. Σχόλια, στ. 7-8, σ. 91-92).

Ζ'

Ο ΙΩΑΝΝΗΣ ΜΠΕΝΙΖΕΛΟΣ ΣΤΟ ΔΩΡΟΘΕΟ ΒΟΥΛΗΣΜΑ

Ἀθήνα	1781 (καὶ ὄχι 1782)
(Αὐτὸ ἔγγρ. μονῆς Παντελ. Ἁγ. Ὄρους, 280×180)	Δεκεμβρίου 30

Περίληψη. — [Κατὰ τὴν προτασσόμενη σημείωση τοῦ Μπ. ,γραμμένη τὸ 1783, τὸ γράμμα εἶναι ἀντίγραφο γράμματός του ποὺ ἔστειλε πέρυσι τὸ Δεκέμβριο στὸ Βουλησμᾶ στὴν Κωνσταντινούπολη, ἀλλὰ ποὺ δὲν τὸν πρόλαβε ἐκεῖ καὶ γι' αὐτὸ τοῦ τὸ ξαναστέλνει τώρα].

Ὁ Μπενιζέλος εὐχαριστεῖ τὸ Βουλησμᾶ γιὰ τὸ γράμμα του [=Ε']. Ἀπαντᾶ στὶς δύο αἰτιάσεις τῶν ἐπικριτῶν τῆς *Χριστιανικῆς Κατηχήσεως* του:

α) Στὴν πρώτη, ὅτι δηλ. οἱ κατηγορίες ποὺ ἀναφέρονται σ' αὐτὴν δὲν στρέφονται ἐναντίον ὁλοκλήρου τοῦ Γένους, ἀλλὰ μόνο ἐναντίον τῶν Ἀθηναίων.

Ἀλλά, ἂν ἐστρέφοντο ἐναντίον ὅλων, τότε δὲν θὰ εἶχαν διατυπωθεῖ, ἀφοῦ ὅλοι θὰ ἦταν ὑπεύθυνοι. Ὁ ἔλεγχος εἶναι ἀνάγκη νὰ στρέφεται ἐναντίον ὀλίγων, γιὰ νὰ παραδειγματίζονται ἀπὸ τοὺς ἄλλους καὶ νὰ διορθώνονται. Ὅποιος διαβάζει τὸν ἔλεγχο κατὰ τῶν παραπτωμάτων δὲν βλάπτεται, ἀντίθετα ἡ ἀποστροφή του πρὸς αὐτὰ ἐνισχύεται. Ἄλλως τε ὁ κύριος σκοπὸς τοῦ ἔργου εἶναι δογματικός, ὄχι ἠθικός.

β) Στὴ δεύτερη, ὅτι δηλ. ὁ τρόπος τῆς ἐκθέσεως εἶναι ἀνοίκειος γιὰ «ποιμαινόμενο».

Ἀλλά, ἂν τὸ πόνημα ἦταν ἐπώνυμο, ἴσως αὐτὴ ἡ ἔνσταση νὰ εὐσταθοῦσε, ἐπειδὴ ὅμως εἶναι ἀνώνυμο, δὲν ἔχει σημασία ἂν γράφτηκε ἀπὸ «ποιμαίνοντα» ἢ ἀπὸ «ποιμαινόμενο», ἀρκεῖ νὰ γράφτηκε σωστά. Ἐκεῖνο ποὺ ἐνδιαφέρει εἶναι ἡ ποιότητα τῶν γραφομένων, ὄχι ἡ πατρότητα. Ὑπάρχουν βιβλία ἀνώνυμα ἢ γραμμένα ἀπὸ ταπεινοὺς συγγραφεῖς, ποὺ εἶναι σοφά, καὶ ὑπάρχουν βιβλία λαμπρῶν συγγραφέων ποὺ ἀποδοκιμάζονται ἢ ποὺ εἶναι ψευδώνυμα, γιὰ νὰ παραπλανήσουν. Ἀλλὰ γιατί ὁ τρόπος τοῦ λέγειν εἶναι ἀνοίκειος καὶ σὲ «ποιμαινόμενο»; Ὅποιος δὲν ἐκήρυξε δικά του δόγματα, ἀλλὰ ἁπλῶς παρέλαβε ἀπὸ τὶς πηγὲς (Γραφές, Συνόδους, Πατέρες) τὰ θεῖα δόγματα, γιὰ νὰ ὠφελήσει, γιατί βλάπτει τὴν Ἐκκλησία, ἂν εἶναι «ποιμαινόμενος»; Σήμερα, σὲ πολλὲς πόλεις κηρύττουν λαϊκοί, μὲ ἄδεια τῆς ἀρχιεπισκοπῆς. Τὸ νὰ συμβουλεύει κανεὶς τὰ σωστὰ σὲ βιβλία, καὶ μάλιστα ἀνωνύμως, δὲν ἀπαγορεύεται ἀπὸ κανέναν ἐκκλησιαστικὸ κανόνα.

Ὁ Μπενιζέλος παρακαλεῖ τὸν ἀποδέκτη νὰ κρίνει τὸ ἔργο καὶ τὴν παροῦσα ἀπάντηση, ἂν εἶναι σωστά.

»Ἶσον τῆς πρωτοτύπου ἐπιστολῆς τῆς σταλείσης πέρυσι κατὰ τὸν δεκέμβριον εἰς βασιλεύουσαν τῷ ἱερολογιωτάτῳ διδασκάλῳ κυρίῳ Δωροθέῳ πρὸς ἀπάντησιν τῶν κατὰ τῆς Χριστιανικῆς Κατηχήσεως *παρά τινων ἐνσταθέντων, ἥν περ, ἀποτυχοῦσαν τότε τῆς ἐκεῖσε αὐτοῦ ἐνδημίας, ἔγνων ἤδη καὶ δεύτερον ἐξαποστεῖλαι τῇ κριτικωτάτῃ ὑμῶν ἀκοῇ πρὸς ἐπίκρισιν τῆς ἀπαντήσεως. ἦν δὲ τὰ παρ' αὐτῶν τοῦ χριστιανικοῦ πονήματος κατενεχθέντα δύο κεφάλαια, αον, ὅτι οὐ κατὰ παντὸς κατηγορεῖται τοῦ γένους τὰ ἐν αὐτῷ περιεχόμενα ἐγκλήματα, εἰ μὴ μόνων τῶν Ἀθηνῶν, βον, ὅτι ὁ τοῦ λέγειν τρόπος ποιμαινομένῳ ἀνοίκειος.*

»Τῷ ἱερολογιωτάτῳ καὶ σεβασμιωτάτῳ μοι πατρὶ καὶ διδασκάλῳ κυρίῳ Δωροθέῳ τὴν ἐκ βάθους ψυχῆς μεθ' ὅσης μου τῆς εὐλαβείας προσκύνησιν ἀπονέμω.

† Εἰ καὶ μὴ κατὰ θυμὸν ἀμφοτέροις καὶ περὶ ἀμφοτέρων ἡ τῶν σοφῶν σου γραμμάτων ἀπάντησις γέγονεν, ἐμοὶ μέντοι ἤρκεσε καὶ μόνη ἡ τούτων ἀπόλαυσις πάσης θυμηδίας ἐμπλῆσαι. οἷον γὰρ οἴει με τὴν γνώμην διατεθῆναι τοῖς γλυκυτάτοις ἐκείνοις νάμασιν ἐπαρδόμενον καὶ τοῖς παραμυθητικοῖς λόγοις δροσιζόμενον. ταῦτ' οὖν εἰδώς, παμπόθητέ μοι διδάσκαλε, μὴ διαλείπῃς οὕτω με κατευφραίνων καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος. Εἶεν. πρὸς δὲ τὰ κατὰ τοῦ χριστιανικοῦ μοι πονήματος παρά τινων αὐτόθι ἐνστατικῶς προβληθέντα, οἶμαι μὲν καὶ τὴν ἀκωλύτως σοι ῥέουσαν γλῶτταν καὶ λέγειν δυναμένην ὅσα καὶ βούλεται τῇ τῶν λόγων εὐροίᾳ γενναιότερον ἀντιστῆναι, οὐκ ἄχαρί γε μὴν ἀπαντῆσαι κἀμὲ ὅσαπερ τὸ στενὸν τῆς ἐμῆς διανοίας ὑπαγορεύει. πρὸς μὲν οὖν τὸ αον, ὅτι δηλ. οὐ καθόλου οὐδὲ κατὰ παντὸς κατηγοροῦνται τοῦ Γένους τὰ ἐν ἐκείνῳ καταφερόμενα ἐγκλήματα καὶ διὰ τοῦτ' ἄρα τῆς ἐν τύπῳ ἐκδόσεως παρ' ἐκείνοις κριταῖς ἀπηξίωται. μάλιστα μὲν οὖν πᾶν τοὐναντίον, εἰ κατ' ἐκείνους παγγενῆ ὑπῆρχον τὰ ἐν τῷ πονήματι κατηγορούμενα, οὐδὲ γοῦν ὅλως ἐλέγχεσθαι μή τι γε δὴ τύποις δοθῆναι εἰκός. τὰ γὰρ παρὰ πάντων ἁπλῶς καὶ λεγόμενα καὶ πραττόμενα, ὁποῖα ποτ' ἂν ᾖ, ἀθεράπευτα εἰς τὸ παντελὲς καὶ διὰ τοῦτο τυχὸν καὶ ἀνεύθηνα. ὅπερ καὶ ἐπὶ τῶν σωματικῶν παθῶν συμβαῖνον ἴδοι τις ἄν. εἰ γάρ, φέρ' εἰπεῖν, πάντες ἄνθρωποι λήμαις ἐλήμων ἢ ἄλλην τινὰ νόσον ἐνόσουν, τίς ἂν ἢ μέμψαιτό τινα ἢ ὑγιάζειν ἐπιχειρήσειε, μηδενὸς ὄντος τοῦ ὑγιαίνοντος; ἐγκυψάτωσαν οἱ κριτικοὶ οὗτοι πάσαις, εἰ βούλοιντο, ἀρχαίαις τε / φημὶ καὶ νεωστὶ διαφόροις πραγματείαις καὶ σκεψάσθωσαν ἀκριβῶς, μᾶλλον δὲ ἀπαθῶς, εἰ ἄρα τὰ ἐν ἐκείναις κατὰ παντὸς κατηγοροῦνται τοῦ Γένους καὶ μάλιστα τοῖς τοῦ θείου χρυσοῤῥήμονος ἠθικοῖς, ὧν σου οὐκ ὀλίγα μόνων τῶν ἐν Ἀντιοχείᾳ ἢ τῶν ἐν βασιλευούσῃ ἴδοι τις ἂν καταδόμενα, ἀλλ' οὔπω ἐς δεῦρο ἀπεφήνατό τις ὅτι παρὰ τὸ μὴ καθόλου ἐπάγεσθαι τὰ ἐγκλήματα, ἤδη καὶ τύπῳ ἐκδοθῆναι ἐπέοικε. χρεὼν τοίνυν τὰ ἐν ταῖς βίβλοις ἐλεγχόμενα ὧν μὲν ἅπτεσθαι ὧν δὲ οὔ, ἵνα οἱ ὑπεύθηνοι ἐκ τῆς τῶν ἀνευθήνων παραθέσεως αἰσχυνόμενοι, τῶν ἀπηγορευμένων ἀπέχοιντο. ὁ γὰρ διδάσκων οἷά τις πανάριστος ἰατρὸς τὰς τῶν ἁμαρτημάτων πληγὰς ἐκάλυπτεν καὶ τὰ τῶν τρυμάτων φάρμακα ἐπιδεικνύς, τοὺς μὲν νοσοῦντας πρὸς θεραπείαν (εἴ γε βούλοιντο) προσκαλεῖται, τοὺς δ' ὑγιῶς ἔχοντας ἐν ἀσφαλείᾳ τῆς ὑγείας καθίστησιν. ἐπεί, εἰπάτωσάν μοι, τί βλά-

33 γράφε ἀνεύθυνα || 45 γράφε ὑπεύθυνοι || γράφε ἀνευθύνων

πτεται ὁ τοὺς περὶ πορνείας ἢ φιλαργυρίας ἢ γοητείας ἢ ἄλλου του τῶν παθῶν λόγους ἀναγινώσκων, ὅτε τοῖς τοιούτοις ἁμαρτήμασι μὴ δουλεύῃ; οὐχὶ μᾶλλον τὸ πρὸς ἐκεῖνα μῖσος ἐπαύξει καὶ ἀσφαλέστερόν τι καὶ διακαέστερον ἀντέχεται τοῦ ἀγαθοῦ; εἰκὸς ἄρα κατ' ἐκείνους περιμένειν γενέσθαι τοὺς πάντας μοιχούς, ἅρπαγας, γόητας καὶ τηνικαῦτα τοὺς ἐλέγχους προφέρειν. εὖ γε τῆς κρίσεως. ἐῶ λέγειν ὅτι πρὸς δογματικὴν διδασκαλίαν καὶ ἔκθεσιν καθ' αὑτὸ τὸ πόνημα ἀποτείνεται, κατὰ συμβεβηκὸς δέ, ὅπῃ παρέλκοι, καὶ τοῦ ἠθικοῦ ὕφους ἅπτεται, ἔνθα ἔνεστιν ἰδεῖν τῷ γε μὴ ἐθελοκακοῦντι πολλὰ τῶν ἁμαρτημάτων παμπόλλων, ὡς οὐκ ὤφελε, πόλεων καὶ οὐχὶ ‖ κατὰ ‖ μόνων τῶν Ἀθηνῶν κατηγορούμενα. ἀλλ' ἔστω, δεδόσθω ὡς ἔστιν ἃ τῶν ἐγκλημάτων μόνων τῶν ἐν Ἀθήναις ἐπιλαμβάνεται, τίνα τοῦτο πρὸς τοὺς ἀνεπιλήπτους φέρει τὴν βλάβην, οὐχὶ δὲ μᾶλλον ὄνησιν, ὡς προείρηται; πρὸς δὲ τὸ βον, ὡς δῆθεν ὁ τοῦ λέγειν τρόπος ποιμαινομένῳ ἀνοίκειος. εἰ μὲν τὸ πόνημα τὸ τοῦ φιλοπονήσαντος ἐγνώριζεν ὄνομα, εἶχεν ἂν ἴσως λόγον τινὰ ἡ ἐκείνων ἔνστασις (τοῦτο δὲ λέγω περὶ τῆς ἐμαυτοῦ οὐθενείας καὶ ἀθλιότητος· οὐδὲ ζῆν ὅλως διὰ τὸ προσὸν τῶν ἰδίων ἀμπλακημάτων, σχολῇ μ' ἂν διδάσκειν ὄντος ἀξίου, ἄλλως γὰρ πολλοὶ τῶν ποιμαινομένων ἐξ ὀνόματος διαφόρους συνεγράψαντο βίβλους, ἐν αἷς ἁπλῶς ἁπάντων καθάπτονται καὶ τὰ ἐλέγχων ἄξια ἀνυποστόλως ἐλέγχουσιν. οἷς δὲ καὶ χάριτας ἐπιγινώσκομεν, ὡς εἰκός). ἐπεὶ δὲ ἀνωνύμως φέρεται, τί διαφέρει τοῖς γε νῦν ἔχουσι τῶν ἐντευξομένων εἰδέναι πότερον παρὰ ποιμαίνοντος ἢ παρὰ ποιμαινομένου συντέθειται, ἔστ' ἂν μὴ ἐνδέοι τοῦ πρὸς ἀλήθειαν καὶ ὀρθότητα ἔχειν οἰκείως; ἔδει γὰρ συνιδεῖν τοὺς γεννάδας, ὡς ἐν ἑκάστῳ συγγράμματι τὴν τῶν λεγομένων κυρίως φιλοκρινοῦμεν ποιότητα, καταχρηστικῶς δὲ καὶ χάριν περιεργείας καὶ τὴν τοῦ λέγοντος. ἐπεὶ πλεῖστα τῶν βιβλίων, τοῦ τῶν ἰδίων πατέρων ὀνόματος ἀμοιροῦντα, ἔμπης οὐδὲν ἧττον παρὰ τῶν σπουδαίων ἁπάντων ἐνστερνιζόμενα ἀναγινώσκεται. καὶ ἐνδέχεται μὲν τινῶν δέλτων πατέρας εἶναι τῶν εὐτελῶν καὶ ἄλλως ἀχρείων, ἀλλ' οὐ παρὰ τοῦτο καὶ τὰ ἔγγονα ἀποβλητέα, / ἡνίκα ταῖς τῆς ἀληθείας μεμόρφωται καλλοναῖς. ὥσπερ αὖ τοὐναντίον συμβαίνει ἔσθ' ὅτε λαμπρῶν τινων καὶ κατωνομασμένων ἀποδοκιμάζεσθαι τὰ συγγράμματα. εἰ γὰρ μέλλοιμεν ἐκ μόνης τῆς τοῦ ὀνόματος ὑπολήψεως τυφλῷ, ὃ λέγεται, ποδὶ ἅπασι

86 Cf. Eurip. Hec. 1050, Phoen. 834
61 κατὰ supra lineam || 65 τὸ$_2$ nos : τοῦ cod.

τοῖς λεγομένοις ἕπεσθαι, οὐκ ὀλίγην λάθοιμεν ἂν ἀντ' ὠφελείας τὴν βλάβην δεξάμενοι διὰ τὸ πολλὰ πολλάκις ἀκολουθεῖν ἐκ τούτου τὰ ἄτοπα. πολλοὶ γὰρ τῆς σφῶν κακοδοξίας ὑποσπεῖραι βουλόμενοι τὰ διδάγματα, τῶν ἐπ' ἀρετῇ καὶ σοφίᾳ περιφανῶν ὥσπερ τι προσωπεῖον ἑαυτοῖς ὄνομα περιθέμενοι, τοῦ τῆς οἰκείας κακεντρεχείας σκοποῦ οὐ διήμαρτον. εἰσὶ δὲ οἳ καὶ τῷ καθαρῷ σίτῳ τὰ ζιζάνια παρενέσπειραν. τίνος δὲ χάριν καὶ ποιμαινομένῳ ἀνοίκειος ὁ τρόπος τοῦ λέγειν; εἰ μὲν γὰρ αὐθεντικῶς καὶ ἐκ τῆς ἰδίας κοιλίας, ὡς ἀπὸ τρίποδος δελφικοῦ, ὁ λέγων ἐρεύγεται, οὐχ ὅπως ποιμαίνων, ἀλλὰ κἂν ἄγγελος εἴη ἐξ οὐρανοῦ εὐαγγελιζόμενος παρ' ὃ παρελάβομεν ἀναθέματι καθυποβλητέος, κατὰ τὸν θεῖον Ἀπόστολον. εἰ δέ τις μόνα τὰ ἀπὸ τῶν θείων Γραφῶν καὶ τῶν ἱερῶν Συνόδων καὶ τῶν λογικῶν τῆς Ἐκκλησίας φωστήρων συλλέξας καὶ παραφράσας ἐν εἴδει ἐπιτομῆς, οὐ δόξαν ἰδίαν, οὐ κέρδος, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων θηρώμενος, ἀλλὰ μόνον τοῦ κοινωφελοῦς στοχαζόμενος, κἂν τῶν ποιμαινομένων εἴη καὶ φαυλοτάτων καὶ οὐδενὸς λόγου ἀξίων, τί ἂν τὸ τῆς Ἐκκλησίας σῶμα λυμαίνηται; εἶτα τὸ μὲν ἐπ' ἐκκλησίας διδάσκειν τὸν λαϊκόν, τὸ μὲν πάλαι παρὰ τῶν ἱερῶν κανόνων ἀπείρηται (τῶν τότε, ὡς ἔοικε, λογικῶν ποιμένων περὶ τοῦτο πᾶσαν ἐχόντων τὴν μέριμναν καὶ περιττὸν ὂν ἔτι ἢ καὶ αὐθαδείας καὶ ἀταξίας ἀνάμεστον ἐπανίστασθαι τὸν τυχόντα. καὶ διδάσκοντος χώραν καταλαμβάνειν, ταὐτὸν εἰπεῖν τὸν πόδα γίνεσθαι κεφαλὴν) τανῦν δὲ ἐν ὅτι πλείσταις τῶν πόλεων ἀδείᾳ ἀρχιερατικῇ τὸ τοιοῦτον ἐπιτελούμενον καὶ ἀκούομεν καὶ ὁρῶμεν. τὸ δὲ ἐν βιβλίοις τὰ δέοντα παραινεῖν, καὶ ταῦτα ἀνωνύμως, οὐδενὶ οὐδαμοῦ τῶν ἐκκλησιαστικῶν Κανόνων κεκώλυται. οἱ τοίνυν τὸ παρὰ τοῖς κανόσιν ἀπειρημένον τοῖς λαϊκοῖς ἐπιτρέποντες, τοῦ χάριν τὸ συγκεχωρημένον καὶ μηδαμοῦ κωλυόμενον ἀπαγορεύουσιν;

Ἐγὼ μὲν οὖν οὕτω γνώμης ἔχω περὶ τούτων, παρακαλῶ δὲ θερμῶς τὴν σὴν σοφολογιότητα τὴν οἰκείαν ἐπίκρισιν τῷ πονήματι ἐπιστῆσαι καὶ μετὰ τὰ εὐαγγέλια τῆς εὐκταιοτάτης μοι ὑγιείας σου ἐξαγγεῖλαι καὶ περὶ αὐτοῦ τούτου, ναὶ μὴν καὶ περὶ τῆς προκειμένης ἀπαντήσεως, εἰ καταλλήλως καὶ ὀρθῶς ἔχει. Ἔρρωσό μοι καθ' ἑκάτερα ἐς μακραίωνας, ἐπὶ τοῖς κοινωφελέσι καὶ θεαρέστοις ἐγχειρήμασι ἄνωθεν ἐνδυναμούμενός τε καὶ εὐοδούμενος.

αψπβῳ: δεκεμβρίου λῃ.

96-97 Galat. 1. 9

122 γράφε αψπαῳ (βλ. Σχόλια).

τὸ εὐτελὲς καὶ ἀνάξιον, ἀλλ' οὖν προσφιλέστατον αὐτῇ κατὰ πνεῦμα τέκνον

Ἰωάννης Μπενιζέλος

ΣΧΟΛΙΑ

Τὸ γράμμα αὐτὸ εἶναι τὸ μόνο τῆς ἀλληλογραφίας ποὺ μᾶς ἐσώθηκε σὲ ἀντίγραφο, γραμμένο ὅμως καὶ αὐτό, μετὰ ἕνα χρόνο, μὲ τὸ ἴδιο τὸ χέρι τοῦ ἀποστολέα, ἐπειδὴ τὸ πρωτότυπο δὲν ἔφτασε στὸν ἀποδέκτη Βουλησμᾶ, ὅπως μᾶς πληροφορεῖ ἡ προτασσόμενη σημείωση. Ἡ ἰδιοτυπία αὐτὴ ἐξηγεῖ ἴσως καὶ τὸ λάθος ποὺ ὁ Μπενιζέλος ἔκαμε, σημειώνοντας τὴν παρωχημένη χρονολογία: ἔγραψε *αψπβῳ δεκεμβρίου λῃ*, ἐνῷ ἡ σωστὴ χρονολογία πρέπει νὰ εἶναι *αψπαῳ* (1781 καὶ ὄχι 1782). Κι' αὐτὸ γιατὶ ὁ ἴδιος, ὁ Μπενιζέλος, στὴν ἀρχὴ (στ. 3-7) τοῦ γράμματός του ἀριθ. Θ' (τῆς 5 Αὐγούστου 1782) γράφει ὅτι τὴν ἀπάντησή του στὸ γράμμα τοῦ Βουλησμᾶ τῆς 23 Ἰουλίου τοῦ περυσινοῦ (1781) ἔτους (=Ε'), στὴν ὁποία ἀντικρούει τὶς ἐπικρίσεις γιὰ τὸ πόνημά του (ἄρα τὸ σχολιαζόμενο ἐδῶ γράμμα Ζ') τοῦ τὴν εἶχε στείλει μὲ τὸν πενθερό του *«κατὰ τὸν παρελθόντα Ἰανουάριον»* (1782). Ἄρα ἡ ἀπάντησή εἶναι τῆς 30 Δεκεμβρίου τοῦ 1781. Οὔτε θὰ ἦταν ἄλλωστε λογικό, ἀφοῦ ἔλαβε ὁ Μπενιζέλος (μὲ μισοῦ χρόνου μάλιστα καθυστέρηση) τὸ γράμμα τοῦ Βουλησμᾶ, μὲ τὶς ἀναμενόμενες τόσο ἀνυπόμονα (βλ. γράμμα Ϛ') κρίσεις γιὰ τὸ πόνημά του, νὰ μὴν ἀπαντήσει ἀμέσως, ἀλλὰ μετὰ ἕνα ὁλόκληρο χρόνο (τὸ 1782). Ὅσο γιὰ τὴ χρονολογία τοῦ ἀντιγράφου, αὐτὸ θὰ ἔγινε κατὰ τὸ τέλος τοῦ 1782 ἢ τὶς ἀρχὲς τοῦ 1783, ἀφοῦ στὴν προτασσόμενη σημείωση ἀναφέρεται ὅτι ἡ χαμένη ἐπιστολὴ εἶχε σταλεῖ «πέρυσι» (στ. 1). Ἴσως μάλιστα ἀπὸ τὶς σύγχρονες μὲ τὴν ἀντιγραφὴ χρονολογίες αὐτὲς νὰ προκλήθηκε τὸ λάθος.

Ὁλόκληρο τὸ τρισέλιδο αὐτὸ γράμμα (τὸ ἐκτενέστερο καὶ σημαντικότερο τῆς ἀλληλογραφίας) εἶναι ἀφιερωμένο στὴν ἀντίκρουση «*τῶν κατὰ τῆς* Χριστιανικῆς Κατηχήσεως *παρά τινων ἐνσταθέντων* (στ. 3-4»). Φαίνεται ὅμως ὅτι, παρ' ὅλη τὴν ἰσχυρὴ ἐπιχειρηματολογία τοῦ συγγραφέα τοῦ ἔργου, ὁ Βουλησμᾶς δὲ μπόρεσε νὰ πείσει κανένα ν' ἀναλάβει τὶς δαπάνες γιὰ τὴν ἔκδοσή του. Καὶ ἔτσι ἡ ἀλληλογραφία θὰ τερματιστεῖ σὲ λίγο.

14-15. *ἡ τῶν σοφῶν σου γραμμάτων ἀπάντησις.* — Ἐννοεῖ τὸ γράμμα Ε' τοῦ Βουλησμᾶ (τῆς 23 Ἰουλίου 1781).

Η'

Ο ΔΩΡΟΘΕΟΣ ΒΟΥΛΗΣΜΑΣ ΠΡΟΣ ΤΟΝ ΙΩΑΝΝΗ ΜΠΕΝΙΖΕΛΟ

Βουκουρέστι 1782

(κῶδ. μονῆς Παντελ. Ἁγ. Ὄρους 513, σ. 189-193) (βλ. εἰκ. 6) 5 Ἰουνίου

Π ε ρ ί λ η ψ η.—Ὁ Βουλησμᾶς ἐκφράζει τὴ λύπη καὶ τὴ συμπάθειά του γιὰ τὸ χρέος καὶ τὶς ἄλλες φροντίδες τοῦ Μπενιζέλου. Ἔδωκε τὸ φιλοπόνημά του [τὴ *Διδασκαλία Χριστιανική*] νὰ τὸ κρίνει στὸν πνευματικὸ πατέρα καὶ σοφὸ διδά-

σκαλο Νεόφυτο [Καυσοκαλυβίτη]. Αὐτὸς τὸ πῆρε καὶ τὸ ἐπέστρεψε μὲ χαρὰ καὶ λύπη: χαρὰ γιὰ τὸν διάπυρο ζῆλο τοῦ Μπ. γιὰ τὴ σωτηρία τῶν χριστιανῶν καὶ λύπη γιὰ τὸ ὑπέρογκο βάρος τοῦ χρέους του. Ὁ Νεόφυτος, ἐπιθυμώντας νὰ τὸν ἀνακουφίσει ἀπ' αὐτό, ἔσπευσε νὰ καταβάλει τὰ 500 γρόσια τοῦ χρέους στὸν ἔμπορο τοῦ Βουκουρεστίου Παναγιώτη Χατζῆ Νίκου, γεγονὸς ποὺ πανηγυρίστηκε μὲ πανδαισία ἀπὸ τοὺς φίλους τοῦ Μπενιζέλου. Τὰ 500 γρόσια βρίσκονται τώρα ὡς παρακαταθήκη (μὲ πόλιτζα) στὸν Παναγιώτη Μπάιλα, στὴν Κωνσταντινούπολη (δίπλα στὸ βελενδὲ Χάνι), ποὺ τοῦ δόθηκε καὶ δεῖγμα τῆς ἰδιόχειρης γραφῆς τοῦ Μπ. ἀπὸ τὰ γράμματά του πρὸς τὸ Βουλησμᾶ, ὥστε νὰ μὴν ἐγχειρίσει τὴν παρακαταθήκη σὲ κανέναν, ἂν δὲν συγκρίνει τὸ γραφικὸ χαρακτήρα. Ὁ Μπενιζέλος πρέπει νὰ στείλει τὴ δική του πόλιτζα στὸ Μπάιλα μὲ ἔμπιστό του, γιὰ νὰ παραλάβει τὴν παρακαταθήκη.

Ὁ Βουλησμᾶς συνιστᾶ στὸ Μπ. νὰ προσφωνήσει καὶ ν' ἀφιερώσει τὸ ἔργο του στὸ Νεόφυτο καὶ νὰ τοῦ τὸ στείλει γιὰ νὰ τὸ ἐκδώσει. Ὁ Θεὸς ἔσωσε τὸ Βουλ. ἀπὸ πολλὲς θανάσιμες παγίδες ποὺ τοῦ ἔστησαν οἱ «μελανείμονες» ἐχθροὶ τῆς ἀληθείας καὶ τῆς πίστης, ὅπως γνωρίζει ὁ πενθερὸς τοῦ Μπ. [Δημήτριος Καλογερᾶς], ποὺ βρέθηκε τότε στὴν Κωνσταντινούπολη. Τοὺς χαιρετᾶ ὅλους, καθὼς καὶ τοὺς δασκάλους Ἀθανάσιο [Μπουσόπουλο] καὶ Δημήτριο [Βόνδα]. Θὰ τοῦ στείλει τὰ συγγράμματα τοῦ Βλεμμύδη (λογικὰ καὶ φιλοσοφικὰ) μὲ ἄλλα δύο περὶ ψυχῆς. Νὰ μὴν προτρέπουν κανένα νὰ ἔλθει στὴν Κωνσταντινούπολη, γιατὶ θὰ μετανιώσει.

[Στὸ ὑστερόγραφο] Ἀπὸ ποῦ παρέλαβε ὁ Μπενιζέλος στὸ σύγγραμμά του «τὴν τοῦ αὐτεξουσίου λέξιν εἰς τόπον τῆς τοῦ Πνεύματος ἐκπορεύσεως» καὶ τὸ ὅτι «ὁ διάβολος, εἰς εἶδος σχηματισθεὶς ὄφεως, ἠπάτησε τοὺς γενάρχας»; Αὐτὰ πρέπει νὰ διορθωθοῦν.

σ. 189 *Ἰωάννῃ, ἀνδρὶ ἐλλογίμῳ καὶ ἀνδρῶν μοι καὶ τέκνων τῶν φιλουμένων παμφιλτάτῳ τὸν εὐχετικὸν ἀσπασμόν.*

Ὀναίμην σου, παμπόθητε υἱὲ καὶ γλυκύτατε, τῆς πάλαι ἐκείνης καὶ γνησίας καὶ σχετικωτάτης ἀγάπης, καὶ ταῦτα τ' ἀντίθετα νῦν σου ἐκείνοις τοῖς πρὸς σέ μου ἀπαντητικοῖς γράμμασι γράμματα ἐπιστέλλων, καί σου τῇ ἀθύμῳ καὶ ἀπορουμένῃ ψυχῇ συμπάσχων καὶ συμπαρακαλούμενος. ἐξ ὅτου γὰρ τὴν σὴν ἐκ τῶν σῶν ἐκείνων ἀθυμίαν περὶ τοῦ χρέους καὶ ἀπαράκλητον καταπόνησιν, οὐκ ἦν ποτε, ὁ ἐτάζων οἶδε καρδίας τε καὶ νεφρούς, μὴ συνιείς σοι τῷ ποθουμένῳ καὶ σητὸς δίκην τῇ συνεχεῖ μερίμνῃ τοῦ ὀδυνηροῦ πάθους ὑποβιβρωσκόμενον, καὶ μάλιστα κατὰ ταυτασὶ τὰς ἡμέρας. ἀνεκέχηνεν, ἀγαπητέ, τὸ πάθος ὡς ὑπὸ πνευματικῷ πατρὶ καὶ κοινῷ σοφῷ διδασκάλῳ καὶ φίλῳ ἡμῖν πιστῷ καὶ γνησίῳ κυρῷ Νεο-



Εἰκ. 6. Γράμμα αὐτόγραφο (ἡ πρώτη σελίδα) τοῦ Δωροθ. Βουλησμᾶ (Βουκουρέστι, 5 Ἰουνίου 1782) πρὸς τὸν Ἰωάννη Μπενιζέλο (Παράρτημα, ΙΙ, ἀριθ. Η', σ. 87-92).

Ἑπομένως ἡ καταστροφὴ τοῦ παλαιοῦ βυζαντινοῦ ναοῦ μὲ τὸν τάφο τοῦ ἁγίου Ἀχιλλίου θὰ πρέπει νὰ ἔγινε μετὰ τὰ μέσα τοῦ ΙϚ' αἰώνα. Ἄλλωστε σὲ γράμμα τοῦ οἰκουμενικοῦ πατριάρχη Ἱερεμία Α', τοῦ μηνὸς Ὀκτωβρίου τοῦ ἔτους 1543, πρὸς τὸ μητροπολίτη Λαρίσης Νεόφυτο Α' (Σεπτ. 1540 - Ἰούν. 1550)[98] ἀναφέρεται ὅτι «πόδες ἀσεβῶν» «ἐχωροβάτησαν τὸν περιβόητον ναὸν» (τοῦ ἁγίου Ἀχιλλίου), πράγμα ποὺ σημαίνει ὅτι ὁ ναὸς ὑπῆρχε τότε, ἀλλὰ εἶχε καταπατηθεῖ καὶ βεβηλωθεῖ ἀπὸ τοὺς Τούρκους[99]: *Ἦν ἄρα ποτ' εὐδαιμονοῦσά τε, εὐθηνουμένη καὶ βριθομένη κτήμασί τε καὶ εἰσοδήμασιν ὅτι πλείστοις καὶ θρόνῳ γε εὐμοιροῦ/σα ὑψηλῷ καὶ καθέδρᾳ ἀρχιερατικῇ ἀγλαϊζομένη, ὡς καὶ αἱ λοιπαὶ πᾶσαι ἐκκλησίαι, καὶ ἡ ἁγιωτάτη καὶ περίφημος τῶν / Λαρισαίων μητρόπολις. Ἀλλ' ἐπεὶ διὰ τὰς ἁμαρτίας ἡμῶν παρεδόθημεν ἐν οἷς παρεδόθημεν κρίσει Θεοῦ δικαίᾳ καὶ κατήχθημεν ἐν οἷς / ἐσμεν ἤδη καὶ ὠλιγώθημεν παρὰ πάντα τὰ ἔθνη καὶ ἐκακώθημεν, ὥς φασιν, καὶ τὴν πρώην ἀπεβαλόμεθα εὔκλειάν τε καὶ εὐημέρειαν, / ἀπώλεσε δὴ καὶ αὕτη τὴν καθολικὴν αὐτῆς ἀρχιερατικὴν ἑσθίαν* [sic] *τε καὶ καθέδραν καὶ τὸν π ε ρ ι β ό η τ ο ν ν α ὸ ν χ ω ρ ο β α τ ή σ α ν τ ε ς ἐν αὐτῷ / π ό δ ε ς ἀ σ ε β ῶ ν, ὢ τῆς ἀνοχῆς σου Χριστέ, καὶ τῆς πολλῆς τῶν εἰσοδημάτων αὐτῆς γε εἰσφορᾶς ὑστερήθη...*

Ἐν τούτοις στὸν κανόνα τοῦ Μανουὴλ Κορινθίου γίνεται λόγος, μὲ κάποια ποιητικὴ ὑπερβολὴ βέβαια, γιὰ συρροὴ πιστῶν ἀπ' ὅλες τὶς γύρω περιοχὲς στὸ ναὸ τοῦ ἁγίου γιὰ τὴν πανήγυρή του: *Ἄνωθεν ἀοράτως ἔπιδε, πάτερ Ἀχίλλιε τρισμάκαρ· ἅπαντα γὰρ ἥκασί σοι ἐκ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου...* (γ' τροπ. η' ᾠδῆς, στ. 243-248). Ἀντίθετα, εἶχε λησμονηθεῖ καὶ δὲν μνημονεύεται ἡ ἀπόκρυψη καὶ ἀποκάλυψη τῆς λάρνακας μὲ τὴ σορὸ τοῦ ἁγίου.

Τὸν ἀνέκδοτο αὐτὸ κανόνα, μὲ τὰ προσόμοια τροπάρια ποὺ προηγοῦνται, δημοσιεύομε παρακάτω[100]. Χάριν ὁμοιομορφίας πρὸς τὰ συνεκδιδόμενα κείμενα ἁπλοποιοῦμε καὶ γράφομε *Λάρισα* καὶ *Λαρισαῖοι* ἀντὶ *Λάρισσα* καὶ *Λαρισσαῖοι* ποὺ παρέχει τὸ κείμενο, καθὼς ἐπίσης *Ἀχίλλιος* ἀντὶ *Ἀχίλλειος*. Τὰ λίγα ὀρθογραφικὰ σφάλματα ποὺ ὑπάρχουν τυχόν, ἢ τὶς ὅποιες ἄλλες ὀρθογραφικὲς διαφοροποιήσεις, ἐπειδὴ τὸ κείμενο εἶναι αὐτόγραφο, παραθέτομε στὸ κριτικὸ ὑπόμνημα.

Ϛ'. Ἀνέκδοτη Ἀκολουθία τῶν ἁγίων Ἀχιλλίου Λαρίσης καὶ Οἰκουμενίου Τρίκκης, γραμμένη τὸ 1683 ἀπὸ τὸν ἱερομόναχο Ἀναστάσιο Γόρδιο

Εἶναι γνωστὴ μόνο ἀπὸ τὸν κώδικα 619 [=Ἀθων. 4739], φφ. 331ʳ-338ʳ, τῆς Μονῆς Ἰβήρων τοῦ Ἁγίου Ὄρους. Γράφτηκε ἀπὸ τὸν ἀγραφιώτη λόγιο ἱερομόναχο Ἀ ν α σ τ ά σ ι ο Γ ό ρ δ ι ο (1654/5-1729), *ἀξιώσει τοῦ ἀρχιπρεσβυτέρου Τρίκκης Κωνσταντίνου κατὰ τὸ ͵αχπγ'* [=1683] *ἔτος τῆς ἐνσάρ-*

κτικὰ τοῦ Α' Ἱστορικοῦ - Ἀρχαιολογικοῦ Συμποσίου. Λάρισα: Παρελθὸν καὶ μέλλον, 26-28 Ἀπρ. 1985, Λάρισα 1985, σ. 202-203.

94. Βλ. ΛΑΖ. ΔΕΡΙΖΙΩΤΗ, *ὅ.π.*, σ. 201-203, εἰκ. 1-2.

95. Σ. Γ. ΓΟΥΛΟΥΛΗ, «Ὁ τάφος τοῦ ἁγίου Ἀχιλλίου...», *ὅ.π.*, σ. 225.

96. Βλ. παραπάνω, σ. 115.

97. Σ. Γ. ΓΟΥΛΟΥΛΗ, «Ὁ τάφος τοῦ ἁγίου Ἀχιλλίου...», *ὅ.π.*, σ. 226.

98. Τὸ πρωτότυπο τοῦ γράμματος αὐτοῦ σώζεται στὸ ἀρχεῖο τῆς Μονῆς Δουσίκου (Ἁγίου Βησσαρίωνος) Τρικάλων, ἀντίγραφό του ὑπάρχει καὶ στὸν κώδ. 59 (σελ. 61-63) τῆς ἴδιας Μονῆς. Βλ. Δ. Ζ. ΣΟΦΙΑΝΟΥ, «Οἱ Νεόφυτοι Λαρίσης τοῦ 16ου αἰῶνος — Συμβολὴ εἰς τὴν ἐκκλησιαστικὴν ἱστορίαν τῆς μεταβυζαντινῆς Θεσσαλίας», *Ἐπετηρὶς τοῦ Μεσαιωνικοῦ Ἀρχείου* [Ἀκαδημία Ἀθηνῶν] 15 (1965) σ. 99, ἀρ. 9 (ἔχει κυκλοφορήσει μόνο τὸ ἀνάτυπο).

99. Τὸ ἔγγραφο ἔχει δημοσιευθεῖ ἀπὸ τὸν I. OUDOT, *Patriarchatus Constantinopolitani Acta Selecta II* [Fonti, Serie II — Fascicolo IV], Grottaferrata (Roma) 1967, σ. 62-67 (ἡ ἔκδοση βασίστηκε στὸν κώδ. Vat. gr. 2416, σ. 323-324, ὅπου ἔχει καταχωρισθεῖ ἀντίγραφο τοῦ γράμματος αὐτοῦ). Τὸ ἀπόσπασμα ποὺ παραθέτομε ἔχει ληφθεῖ ἀπὸ τὸ πρωτότυπο ἔγγραφο. Πρβλ. καὶ Μητροπ. ΤΡΙΚΚΗΣ καὶ ΣΤΑΓΩΝ ΠΟΛΥΚΑΡΠΟΥ [ΘΩΜΑ], «Ἡ ἕδρα τῆς Μητροπόλεως Λαρίσης κατὰ τὸν ΙΣΤ' καὶ ΙΖ' αἰῶνα», *Θεολογία* 15 (1937) σ. 357-358· βλ. καὶ Σ. Γ. ΓΟΥΛΟΥΛΗ, «Ὁ τάφος τοῦ ἁγίου Ἀχιλλίου...», *ὅ.π.*, σ. 226. — Ἂς σημειωθεῖ ἐδῶ ὅτι ὁ χριστιανικὸς πληθυσμὸς στὴν Λάρισα, ἤδη ἀπὸ τὸ ΙΕ' αἰώνα, ἀποτελοῦσε ἀσήμαντη μειονότητα σὲ σύγκριση μὲ τὸν τουρκικό. Ὅπως συνάγεται ἀπὸ ἐπίσημα στοιχεῖα ποὺ παρέχει τουρκικὸ ἀπογραφικὸ κατάστιχο τῶν ἐτῶν 1454/55, οἱ Χριστιανοὶ τῆς Λάρισσας κάλυπταν μόνο τὸ 12,15% τοῦ συνολικοῦ της πληθυσμοῦ· βλ. σχετικὰ N. BELDICEANU — P. Ş. NĂSTUREL, «La Thessalie entre 1454/55 et 1506», *Byzantion* 53 (1983) σ. 122-123.

100. Βλ. σ. 181-190.

κου οἰκονομίας τοῦ Θεοῦ λόγου (βλ. τὸν ἐκτὸς κειμένου πίν. ΚΑ'). 'Αντιγράφτηκε στὸν ἰβηριτικὸ αὐτὸ κώδικα τὸ ἔτος 1712, σύμφωνα μὲ τὸ βιβλιογραφικὸ σημείωμα (φ. 338ʳ): *Χείρ, γεωργάκη τοῦ ἀλεξάνδρου τοὐπίκλην μπαραρᾶ, τοῦ τρικκαέως. κ(α)τ(ὰ) τὸ αψιβω'*[101]. 'Ο ἀρχιπρεσβύτερος (πρωτοπρεσβύτερος ἢ καὶ πρωτοπαπὰς) Τρίκκης Κωνσταντῖνος εἶχε ἰδιαίτερες σχέσεις μὲ τὸν 'Αναστάσιο Γόρδιο, ὅπως φαίνεται ἀπὸ τὴν ἀλληλογραφία τοῦ ἀγραφιώτη λογίου[102].

'Η γραφὴ εἶναι εὐανάγνωστη, ἡ συνηθισμένη τῆς ἐποχῆς. 'Ορθογραφικὰ σφάλματα ὑπάρχουν πολὺ λίγα.

'Η 'Ακολουθία περιλαμβάνει τροπάρια τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου, μαζὶ μὲ τὸν κανόνα τῶν ἁγίων. Κάθε ᾠδὴ τοῦ κανόνα ἀποτελεῖται ἀπὸ τέσσερα τροπάρια, ἀπὸ τὰ ὁποῖα τὸ τέταρτο εἶναι θεοτοκίο. Τὰ ἀρχικὰ τῶν τροπαρίων σχηματίζουν τὴν ἀκροστιχίδα: *'Αχιλλείῳ ἅμα Οἰκουμένιον θέμις ὑδεῖν (γρ. ἰδεῖν)*. Τὰ προσόμοια τροπάρια δὲν προσαρμόζονται πάντοτε πρὸς τοὺς εἱρμούς τους (βλ. π.χ. κάθισμα, στ. 227-240, πρὸς τὸ *Κατεπλάγη 'Ιωσήφ*). Τὸ ἴδιο παρατηρεῖται καὶ σὲ ὁρισμένα τροπάρια τοῦ κανόνα.

Στὴν 'Ακολουθία αὐτὴ ποὺ συνέταξε ὁ 'Αναστάσιος Γόρδιος δὲν ὑπάρχει καμιὰ ἀναφορὰ στὸν τάφο μὲ τὰ λείψανα τοῦ ἁγίου 'Αχιλλίου. 'Ο τάφος, προφανῶς, μαζὶ μὲ τὸν παλαιὸ βυζαντινὸ ναό, εἶχε καταστραφεῖ καὶ δὲν ὑπῆρχε πιά. Γίνεται βέβαια λόγος γιὰ ναὸ τοῦ ἁγίου, ὁ ὁποῖος ὅμως εἶναι ὁ νεότερος, τῶν χρόνων τῆς Τουρκοκρατίας: *"Ελαμψεν ὄντως ἡ φαιδρὰ καὶ φωτοφόρος ἡμέ-*

101. Γιὰ τὸν κώδικα βλ. Σπ. Λαμπρου, *Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ 'Αγίου "Ορους ἑλληνικῶν κωδίκων*, τόμ. Β', 'Εν Κανταβριγίᾳ τῆς 'Αγγλίας 1900, σ. 186-187, ἀρ. 4739 (619), κείμ. 9· πρβλ. N. A. Bees, «Prosopographisches, Hagiologisches und Kunstgeschichtliches über den hl. Bessarion, den Metropoliten von Larissa (1540)», *Byzantinisch - Neugriechische Jahrbücher* 4 (1923) σ. 369-370. — Γιὰ τὸν 'Αναστάσιο Γόρδιο βλ. Π. Βασιλειου, *Εὐγένιος Γιαννούλης ὁ Αἰτωλὸς καὶ οἱ σπουδαιότεροι μαθητὲς τῶν Σχολῶν τῶν 'Αγράφων*, 'Αθῆναι 1957, σ. 82-92· Του Ιδιου, «'Ο 'Αναστάσιος Γόρδιος καὶ τὸ ἔργον του (1654-1729)», *Θεσσαλικὰ Χρονικὰ* 10 (1971) σ. 129-156· A. Argyriou, *Les exégèses grecques de l'Apocalypse à l'époque turque (1453-1821) — Esquisse d'une histoire des courants idéologiques au sein du peuple grec asservi* ['Εταιρεία Μακεδον. Σπουδῶν, 'Επιστημ. Πραγματεῖαι 15], Θεσσαλονίκη 1982, σ. 305-309· Δ. Ζ. Σοφιανου, «'Ιστορικὰ σχόλια σὲ ἐπιγραφές, ἐπιγράμματα, χαράγματα καὶ ἐνθυμήσεις τῆς Μονῆς Δουσίκου — Συμβολὴ στὴν ἱστορία τῆς Μονῆς», *Μεσαιωνικὰ καὶ Νέα 'Ελληνικὰ* ['Ακαδημία 'Αθηνῶν, Κέντρον 'Ερεύνης τοῦ Μεσαιωνικοῦ καὶ Νέου 'Ελληνισμοῦ] 1 (1984) σ. 34, σημ. 92, ὅπου καὶ ἡ σχετικὴ ἄλλη βιβλιογραφία. — Σὲ βιβλίο Προθέσεως, ποὺ φυλάσσεται στὸ Ναὸ τῆς 'Αγίας Παρασκευῆς Τρικάλων, ὑπάρχει ἡ ἑξῆς ἐνθύμηση: *ἐγράφει δὲ διαχειρὸς κἀμοῦ ἀναστασίου τοῦ / μακαρίτου ἀ λ ε ξ ά ν δ ρ ο υ μ π α ρ α ρ ᾶ, ἐκ / τρίκκης: 1778 νοεμβρίου 7*· βλ. Δ. Γ. Καλουσιου, *'Ο ἱερὸς Ναὸς τῆς 'Αγίας Παρασκευῆς Τρικάλων— 'Η «βασίλισσα» τοῦ Βαρουσίου*, Τρίκαλα 1990, σ. 103, ὅπου δημοσιεύεται ἡ ἐνθύμηση καὶ παρατίθεται καὶ πανομοιότυπό της.

102. Βλ. Μ. Παρανικα, «'Η ἐν Θεσσαλίᾳ Τρίκκη κατὰ τὸν ΙΖ' αἰῶνα», *'Ο ἐν Κωνσταντινουπόλει 'Ελληνικὸς Φιλολογικὸς Σύλλογος* 26 (1894/5) σ. 8, ἀρ. δ'.

ρα τῆς σεπτῆς σου, πάτερ, μνήμης καὶ πάντας προσκαλεῖται συνδραμεῖν τῷ σ ῷ ν α ῷ... (β' τροπ. γ' ᾠδῆς, στ. 206-210). — *'Ρημάτων ἡ δύναμις τῶν σῶν, θεόφρον 'Αχίλλιε, πονηρότατα πνεύματα δαιμόνων ἀπήλαυνεν... καὶ νῦν οἱ τῷ θείῳ σ ο υ προσεδρεύοντες ν α ῷ παντοίας νόσου λύσιν κομίζονται...* (γ' τροπ. τῶν αἴνων, στ. 523-530).

'Ο ναὸς αὐτὸς τοῦ ἁγίου 'Αχιλλίου, τῶν χρόνων τῆς Τουρκοκρατίας, ποὺ ἀντικατέστησε τὸν παλαιὸ βυζαντινὸ ναό, διατηρήθηκε μέχρι τὰ 'Ορλωφικά, ὁπότε (12 'Ιουν. 1769) πυρπολήθηκε καὶ καταστράφηκε ἀπὸ τὸν ἐξαγριωμένο τουρκικὸ ὄχλο. Τὸ 1794, μετὰ ἀπὸ εἴκοσι πέντε χρόνια, μὲ τὴ συνδρομὴ καὶ ἐπιστασία τοῦ τότε μητροπολίτη Λαρίσης Διονυσίου τοῦ Καλλιάρχη, τοῦ μετέπειτα ἐθνομάρτυρα μητροπολίτη 'Εφέσου, χτίστηκε νέος ναός, τὸν ὁποῖο ἀντικατέστησε ἄλλος μεγαλοπρεπέστερος καὶ ἐπιβλητικότερος (σύμφωνος μὲ τὶς αἰσθητικὲς ἀντιλήψεις τῆς ἐποχῆς) στὶς ἀρχὲς τοῦ αἰώνα μας. Καταστράφηκε ὅμως κι αὐτὸς μὲ τὸ σεισμὸ τοῦ 1941. Τὸ 1965 ἔγιναν τὰ ἐγκαίνια τοῦ σημερινοῦ ἐπιβλητικοῦ ναοῦ τοῦ ἁγίου[103] (βλ. τοὺς ἐκτὸς κειμένου πίν. ΚΒ' καὶ ΚΓ').

Στὸ τρίτο τροπάριο τῆς ϛ' ᾠδῆς τοῦ κανόνα (στ. 325-329) γίνεται λόγος γιὰ κατεδάφιση εἰδωλολατρικῶν ναῶν ἀπὸ τὸν 'Αχίλλιο (ὅπως ἀναφέρεται καὶ στὸ παλαιὸ σύντομο συναξάριο τοῦ ἁγίου: *καὶ ναοὺς εἰδωλικοὺς πλείστους καταστρεψάμενος...*[104]): *τοὺς τῶν εἰδώλων ναοὺς εἰς γῆν κατηδάφισας, 'Αχίλλιε ὅσιε, καὶ ναοὺς εἰργάσω θεοτεύκτους διὰ πίστεως.*

'Ενῶ, τέλος, στὸν κοινὸ κανόνα πρὸς τιμὴν τῶν ἁγίων 'Αχιλλίου Λαρίσης καὶ Οἰκουμενίου Τρίκκης ὁ 'Αναστάσιος Γόρδιος δὲν ἀναφέρεται καθόλου στὸν τάφο τοῦ ἁγίου 'Αχιλλίου, ποὺ προφανῶς τότε δὲν ὑπῆρχε, ἀντίθετα μνημονεύει συχνὰ (στ. 101-109, 395-398, 486-489, 535-541 καὶ συναξαρίου στ. 11-13)[105] τὰ λείψανα τοῦ ἁγίου Οἰκουμενίου, τῶν ὁποίων μικρὸ μέρος εἶχε ἀπομείνει τότε καὶ ὑπάρχει καὶ σήμερα στὴν Τρίκκη[106].

103. Γιὰ τὴν ἱστορία καὶ τὶς περιπέτειες τῶν διαδοχικῶν ναῶν τοῦ ἁγίου 'Αχιλλίου κατὰ τὴν περίοδο τῆς Τουρκοκρατίας καὶ τοὺς νεότερους χρόνους βλ. Γ. Κ. Γουργιωτη, *Σχεδίασμα μεταβυζαντινῆς - νεοελληνικῆς ἱστορίας τοῦ ναοῦ 'Αγίου 'Αχιλλίου Λαρίσης*, Λάρισα 1986· πρβλ. καὶ Επ. Γ. Φαρμακιδου, *'Η Λάρισα ἀπὸ τῶν μυθολογικῶν χρόνων μέχρι τῆς προσαρτήσεως αὐτῆς εἰς τὴν 'Ελλάδα (1881) — Τοπογραφικὴ καὶ ἱστορικὴ μελέτη*, Βόλος 1926, σ. 189-193. Γιὰ τὴν καταστροφὴ ἀπὸ τοὺς Τούρκους τὸ 1769 τοῦ ναοῦ τοῦ ἁγίου 'Αχιλλίου καὶ γιὰ τὴν ἀνέγερση τοῦ νέου τὸ 1794, καθὼς καὶ γιὰ τὰ διάφορα ἐπιγράμματα τοῦ τελευταίου βλ. Ιω. Οικονομου-Λαρισσαιου Λογιωτατου, ... Π *Ιστορικὴ τοπογραφία ενός μέρους της Θετταλίας — 1817*, Εισαγωγὴ — Φροντίδα Μ. Μ. Παπαϊωαννου, 'Εκδοση Δήμου Λάρισας, Αθήνα 1989, σ. 167-169.

104. Βλ. παραπάνω, σ. 106, στ. 12-13.

105. Βλ. παρακάτω, σ. 194, 203, 205, 208, 209.

106. Γιὰ τὴν τύχη τῶν λειψάνων τοῦ ἁγίου Οἰκουμενίου, πού, κατὰ τὴν παράδοση, ἀπήχθησαν καὶ αὐτὰ ἀπὸ τὸν τσάρο τῶν Βουλγάρων Σαμουήλ, βλ. Γ. Παπαγεωργιου-

Τὴν ἀνέκδοτη αὐτὴ Ἀκολουθία τοῦ Ἀναστασίου Γορδίου δημοσιεύομε παρακάτω[107], μαζὶ μὲ τὰ ἄλλα ἀνέκδοτα ὑμνογραφικὰ κείμενα τοῦ ἁγίου Ἀχιλλίου.

ζ'. Ἀκολουθίες τοῦ ἁγίου Ἀχιλλίου Λαρίσης σὲ παλαιὰ σερβικὴ γλώσσα

Σὲ παλαιὰ χειρόγραφα τῆς Σερβίας μὲ κυριλλικὴ γραφή, σώζονται δύο διαφορετικὲς Ἀκολουθίες τοῦ ἁγίου Ἀχιλλίου.

α'. Ἡ πρώτη στὸ χειρόγραφο SANU 361 (φφ. 92-94) τῆς Σερβικῆς Ἀκαδημίας Ἐπιστημῶν καὶ Τεχνῶν. Πρόκειται γιὰ μηναῖο γραμμένο στὰ μέσα τοῦ ΙΓ' αἰώνα. Ἡ Ἀκολουθία αὐτὴ δημοσιεύθηκε πρόσφατα[108].

β'. Ἡ δεύτερη στὸ χειρόγραφο 19 (φφ. 64r-71v) τῆς Μονῆς Krka (στὴ βόρεια Δαλματία). Τὸ χειρόγραφο αὐτὸ εἶναι μηναῖο τοῦ Μαΐου, ποὺ χρονολογεῖται στὸ β' μισὸ τοῦ ΙΔ' αἰώνα. Κι αὐτὴ ἡ Ἀκολουθία ἔχει πρόσφατα δημοσιευθεῖ[109].

Καὶ τὰ δύο παραπάνω ὑμνογραφικὰ κείμενα πρέπει νὰ ἔχουν συνταχθεῖ μετὰ τὴν ἐπιδρομὴ τοῦ Σαμουὴλ τῶν Βουλγάρων στὴ Λάρισα (985/6) καὶ τὴν ἀπαγωγὴ καὶ μεταφορὰ τῶν λειψάνων τοῦ ἁγίου Ἀχιλλίου στὴ Μικρὴ Πρέσπα. Σύντομα, μετὰ τὸ γεγονὸς αὐτό, μεταφέρθηκε καὶ διαδόθηκε, ὅπως ἦταν φυσικό, καὶ ὁ ἑορτασμὸς τῆς μνήμης τοῦ Λαρισαίου ἁγίου στὶς χριστιανικὲς ὀρθόδοξες σλαβικὲς περιοχές.

ΕΡΑΛΛΥ, *Μητροπολίτου Λαρίσης - Τρίκκης Ἀντωνίου Ἐγκώμιον εἰς τὸν ἅγιον Οἰκουμένιον*, Ἀθῆναι 1958, σ. 8-9, 28-29.

107. Βλ. σ. 191-210.

108. Βλ. SUBOTIN - GOLUBOVIC' TATJANA, «Kult svetog Ahilija Lariskog», *Zbornik Radova Vizantološkog Instituta* [τῆς Σερβικῆς Ἀκαδημίας Ἐπιστημῶν καὶ Τεχνῶν], τόμ. 26 (1987) σ. 21-23 (στὰ σερβικὰ μὲ γαλλικὴ περίληψη: «Le culte de saint Achille de Larissa»).

109. Βλ. SUBOTIN - GOLUBOVIC' TATJANA, «Nova sluzba sv. Ahiliju Lariskom», *Zbornik Radova*, ὅ.π., τόμ. 27-28 (1989) σ. 149-175 (στὰ σερβικὰ μὲ γαλλικὴ περίληψη: «Nouvel office de saint Achille de Larissa»). Στὶς σελ. 152-158 παρατίθεται ἡ ἔκδοση τοῦ κειμένου καὶ στὶς σελ. 159-174 πανομοιότυπα τῶν φύλλων τοῦ χειρογράφου, ὅπου ἡ δημοσιευόμενη Ἀκολουθία.

ΤΑ ΚΕΙΜΕΝΑ

SIGLA

CPC = W. Christ—M. Paranikas, *Anthologia graeca carminum christianorum*, Lipsiae 1871.

EE = Σωφρ. Εὐστρατιάδου, *Εἱρμολόγιον*, Chennevières-sur-Marne 1932.

ER = *Εὐχολόγιον τὸ μέγα*, Ἐν Ρώμῃ 1873.

HR = *Ὡρολόγιον τὸ μέγα*, Ἐν Ρώμῃ 1876.

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, I-VI, Ἐν Ρώμῃ 1888-1901.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη*, Ἐν Ρώμῃ 1885.

PeR = *Πεντηκοστάριον*, Ἐν Ρώμῃ 1883.

TR = *Τριῴδιον κατανυκτικόν*, Ἐν Ρώμῃ 1879.

Α'

ΑΝΕΚΔΟΤΟΣ ΑΡΧΙΚΟΣ ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΑΧΙΛΛΙΟΥ ΛΑΡΙΣΗΣ

Ἐκδίδεται ἀπὸ τὸν κώδικα 212, φφ. 21v-36v, τῆς Μονῆς Διονυσίου τοῦ Ἁγίου Ὄρους (=cod.).

27v *Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Ἀχιλλίου μητροπολίτου Λαρίσης.*

Εὐλόγησον πάτερ.

Ἀδικεῖν μὲν εἰκότως ἄν τις κριθείη τὸν μέγαν ἐν πατράσιν Ἀχίλλιον, εἰ σιωπῶν τὸν ἐκείνου παρέλθοι βίον, ζημιοῦν δὲ τὰ μέγιστα οὕτω καὶ τοὺς τῶν καλῶν ἐραστάς, τοσαύτης ὠφελείας ὑπερφυῶν διηγημάτων ἀποστερῶν· δι' ὧν κοινὸς ἔρως ἐν καρδίαις φιλοθέοις ἀνάπτεται καὶ ψυχαὶ φιλάρετοι πρὸς τὴν τῶν ἐπαινουμένων μίμησιν διεγείρονται. Ὅθεν δὴ καὶ
22r *μνημονευτέον / τῶν λόγων τοῦδε τοῦ γενναίου ἀνδρὸς καὶ διηγητέον τὰ ἐκείνου ὡς δυνατόν, ἵνα μὴ τῷ τῆς ἀγνοίας ⟨σ⟩κότει τὰ ὄντως μνήμης ἄξια συγκαλύπτοιτο, μηδὲ παραδοθείη λήθης βυθοῖς τὰ δῆλα πᾶ⟨σι⟩ σχεδὸν καὶ ὑπὸ πάντων ᾀδόμενα, καὶ ἃ κατὰ τὸν θεῖον Δαβὶδ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν καὶ τοῖς ὠσὶν ἡμῶν ἀκηκόαμεν.*

Τὸν θεῖον τοιγαροῦν καὶ μέγαν Ἀχίλλιον ἤνεγκε μὲν ἡ εὐτυχὴς καὶ περιώνυμος τῶν Καππαδοκῶν. Εὐτυχῆ γὰρ αὐτὴν ἀπέδειξεν ἀληθῶς καὶ περίδοξον τὰ εὐγενῆ τε καὶ οἰκεῖα βλαστήματα, οἱ μέγιστοι τῆς εὐσεβείας διδάσκαλοι, οἱ φαεινοὶ τῆς ἐκκλησίας φωστῆρες, ὅ τε Θεολόγος Γρηγόριος καὶ Μέγας Βασίλειος, οἱ πάνυ τὰ θεῖα σοφώτατοι· καὶ πρὸς τούτοις
22v *ἔτι οἱ σαρκὸς καὶ αἵματος ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας / ἀφειδήσαντες· τεσσαράκοντα πατέρες δὲ τῶν ἐπισήμων ἄγαν καὶ διαφανῶν τὴν εὐσέβειαν, τὸ πάντων μέγιστόν τε καὶ ὑψηλότατον, τὸν τρόπον ἐπιεικεῖς, τὸν βίον ἐπαινετοί, τὴν περιουσίαν οὐ περιττοί, τὴν πρὸς τοὺς πένητας συμπάθειαν εὐπορώτατοι, καλὸν ἀρχέτυπον προκείμενοι τῷ παιδὶ καὶ τύ-*

13-14 Ps. 43 (44), 2

πος τούτῳ ἀρετῆς ἁπάσης γινόμενοι, ὡς τὸ δένδρον μετὰ ταῦτα ἔδειξεν ὁ καρπὸς καὶ τὴν πηγὴν τὸ ὕδωρ καὶ τὸ γένος ἡ πρὸς τοῦτο ἀκριβὴς ἐξομοίωσις.

⟨Τ⟩οιούτων γοῦν γεννητόρων ὁ θαυμάσιος προελθὼν καὶ οὕτως παρ' αὐτῶν διαπλασθεὶς τὴν ἡμερινήν τε πλάσιν καὶ καθαρὰν καὶ εἰς μέτρον ἡλικίας φθάσας τῆς ἐν Χριστῷ καὶ τῶν τελειοτέρων ἤδη ἁψάμενος, ἐπεὶ τὸν βίον οἱ τεκόντες μετήλλαξαν, οὐ πρὸς ἡδονὰς εὐθὺς ἀπεῖδεν, οὐ πρὸς βίον ἄνετον καὶ ἀνελεύθερον, καὶ οἷον οἱ πρὸ ὥρας στέρησιν γονέων ὑπο- [23r] στάντες καὶ πατρῷον κλῆρον διαδε/ξάμενοι, τῷ τε σώματι σφριγῶντες καὶ τοῖς πάθεσι ῥᾳδίως ὑποσυρόμενοι· τοὐναντίον μὲν οὖν μᾶλλον πρὸς τὸ τραχὺ καὶ ἐπίπονον καὶ τὸ ὅλον ἀπαράσκευόν τε καὶ ἀπέριττον, κοσμικῆς ἁπάσης ἀπηλλαγμένον γεώδους συγχύσεως.

Ὅθεν δὴ καὶ πάντα μὲν τὰ ἐν χερσὶ πενήτων χεῖρες ἐδέχοντο, αὐτὸς δὲ μεγαλοψυχότατα τὴν τούτων στέρξας ἀποβολὴν κούφως διέπλεε τὴν τοῦ βίου θάλασσαν, οὐδ' ἑνὶ δεσμῷ τῶν κάτω κατεχόμενος ἢ κατασπώμενος, ἀλλ' ἄνω βλέπων εἰς οὐρανὸν καὶ τὰ ἐκεῖσε κάλλη ἐνοπτριζόμενος. Ἐντεῦθεν οὖν ἑαυτὸν σκληραγωγίαις ἐκδεδώκει καὶ παντοίαις κακώσεσιν, ὑποπιάζων τὸ σῶμα καὶ δουλαγωγῶν κατὰ τὸν θεῖον ἀπόστολον διὰ τὸν παρὰ τῶν ἐχθρῶν ἐκ τῶν παθῶν ἀνεγειρόμενον πόλεμον, οἷον νηστείαις καὶ ἀγρυπνίαις καὶ παννύχοις πρὸς τὸ θεῖον ἐντεύξεσι [23v] καθαίρων ἑαυτὸν τῷ Θεῷ καὶ οἶκον / ἄξιον κατασκευάζων εἰς ἐκείνου κατοίκησιν. Ὅθεν καὶ οὐκ εἰς μακρὰν τῆς θείας χάριτος ᾔσθετο ἀναβάσεις, κατὰ τὸν προφήτην, ἐν καρδίᾳ διατιθέμενος καὶ θειοτέρας γνώσεώς τε καὶ ἐλλάμψεως ἀξιούμενος, καὶ τοσαύτης ὅσης ἂν εἰκότως τὸν ὄντως τῷ Θεῷ ἀδιαλείπτως σχολάζοντα· «σχολάσετε γάρ», φησί, «καὶ γνῶτε». Ταύτῃ τοι καὶ ἔγνω καὶ σοφίας ὅλως ἐνθέου πεπλήρωτο, ἀγγελικὸς τὸ εἶδος τοῖς πᾶσι φαινόμενος, ἡδὺς τὸν λόγον, ἁπλοῦς τὸν τρόπον, τὴν ἐντυχίαν εὐπρόσιτος, τὸ ἦθος ἐπιεικής, τὸ φρόνημα μέτριος, πανταχόθεν ἴσος καὶ ὅμοιος ἑαυτῷ, χαρίτων θείων ἀνάπλεως, ἀγάπης καὶ εἰρήνης οἷον ὑπογραμμός, ἁγνείας τε καὶ ἡσυχίας διδάσκαλος, μελέτης θείων λογίων καὶ ἀκροάσεως διαπυρώτατος ἐραστής· θορύβοις γὰρ τοῖς ἔξωθεν καθ' ἅπαξ χαίρειν εἰπὼν καὶ μόνῳ προσέχειν Θεῷ, ἀνεπισκότητον παρ' ἅπασι καὶ ἀνεπίβατον τοῖς ἔξωθεν ἐτήρει τὸν λογισμόν.

32 πρὸ ὥρας: προώρας cod. 43 τὸν corr. nos : τῶν cod.
45 ἑαυτὸν corr. nos : ἑαυτῷ cod. 56-57 παρ' ἅπασι nos : παράπασι cod.

42 1 Cor. 9, 27
46-47 Ps. 83 (84), 6
49 Ps. 45 (46), 11

[24r] Ἀλλά, προστιθεὶς φησὶ γνῶσιν, προστίθησιν ἄλγημα. Ἐντεῦθεν καὶ ἔρως αὐτὸν εἰσέδυ θεῖος τοὺς σεβασμίους τόπους θεάσασθαι, ἐν οἷς ὁ δι' ἡμᾶς ἐνανθρωπήσας Θεὸς τὰς ἐπὶ γῆς διατριβὰς ἐποιήσατο. Καὶ ὁ ἔρως ὅλως ἠρεμεῖν οὐκ ἠνείχετο οὔτε μὴν καθεύδειν εἴα τὸν ἐραστήν, πρὸς δὲ τὰ ἐρώμενα ὀξέως τὸν ἁλόντα κατήπειγεν. Αὐτίκα γοῦν τῆς πατρίδος ἀπαναστὰς πρὸς τοὺς θεοστιβεῖς ἐκείνους καὶ σεβασμίους τόπους ἐφοίτα, καὶ τῷ θεοδόχῳ τάφῳ ἐν θερμῷ τῷ πνεύματι πρόσεισι καὶ αὐτὸν καταβάλλει τῇ γῇ, πηγὰς δακρύων τῶν ὀφθαλμῶν ἀφιείς, ὑπὸ τῆς ἄγαν εὐφροσύνης πυρούμενος, καὶ τούτοις λούων δαψιλῶς τὸ ὑποκείμενον ἔδαφος, ἐπικόπτων τούτῳ τῷ μετώπῳ συχνῶς καὶ χείλεσι καθαρωτάτοις ἠσπάζετο καὶ πολλῆς μὲν τῆς θυμηδίας καὶ χαρμοσύνης ἐπληροῦτο, ὡς ἀλλοιωθῆναι κατὰ τὴν θείαν γραφὴν τὴν θείαν ἀλλοίωσιν, σαρκός τε καὶ [24v] αἵματος / ἔξω γενέσθαι καὶ τῶν ἀνθρωπίνων μηδενὸς ἐπιστρέφεσθαι· μόνῳ δὲ τῷ θεοδόχῳ τάφῳ ὄμμασιν ἀνεῳγμένοις ὁρᾶν καὶ τούτῳ οἷον ἀναπνεῖν καὶ ζῆν καὶ τρυφᾶν.

Οὕτως οὖν ἐφ' ἱκανοῖς τοῖς ἀγαθοῖς ἐνδιατρίψας θεάμασι καὶ οὕτω δαψιλῶς τῶν ποθουμένων κατατρυφήσας, πλοῦτόν τε πλουτήσας ὃν ἐξῄτει τὸν ἀθάνατόν τε καὶ ὑψηλότατον, ἐπὶ τὰ ἱερὰ τῶν μοναστῶν ἐτέρπετο καταγώγια, τὰς ἠγαπημένας κέδρους, παρ' ὕδατα σπεύδων ὥσπερ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, ὅπως ἂν τὴν ἔνδον τῆς καρδίας φλόγα τῇ ἐκεῖθεν δρόσῳ παραμυθήσηται καὶ τὰ ἐκ τῶν λειμώνων ἄνθη, κατὰ τὴν φιλεργὸν ἀπανθησάμενος μέλιτταν, ἐν τοῖς σίμβλοις τῆς ψυχῆς ἐναποθῆται. Καὶ δὴ τοῖς θεοφόροις προσιὼν πατράσι μεθ' ὅσης ἂν εἴποις εὐλαβείας τε καὶ αἰδοῦς, τὰς παρὰ πάντων εὐλογίας τε καὶ εὐχὰς ἐκαρπώσατο δαψιλέ- [25r] στερον. Ὅθεν πλήρης τῶν ἐκεῖθεν γεγονώς, / ὥσπερ ναῦς μυριοφόρος, ἀγωγίμων πεπλησμένος πολυκερδῶν, ἐπὶ τὴν ἁγίαν πόλιν αὖθις ἐπάνεισι· καὶ ἦν τῷ θεοδόχῳ προσεδρεύων τάφῳ καὶ μελετῶν ἐν νόμῳ Κυρίου ἡμέρας τε καὶ νυκτὸς ἀρδόμενος διὰ παντὸς τὴν ψυχὴν καὶ θάλλων οἷα δένδρον πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων τοῦ πνεύματος.

Ἐπεὶ δὲ χρόνος ἐμετρεῖτο συχνὸς τῆς ἐκεῖσε τοῦ ἁγίου διατριβῆς, κόρος δὲ οὐδεὶς αὐτὸν τοῦ ποθουμένου ἐλάμβανεν, ἀλλ' ἀπλήστως εἴχετο τούτου καὶ λίαν ἐρωτικῶς, ἄλλως δὲ τὰ κατ' αὐτὸν ἡ ἄνωθεν ᾠκονόμει

64 αὑτὸν nos : αὐτὸν cod. 70-71 μόνῳ nos : μόνον cod. 71 τούτῳ nos : τοῦτον cod. 79 ἐναποθῆται corr. nos : ἐναπόθηται cod.

58 Ec. 1, 18
77-78 Ps. 41 (42), 2
86 Ps. 1, 3

πρόνοια, ἥτις πόρρωθεν τὰς τῶν μεγίστων οἶδε πραγμάτων ἀρχὰς καταβάλλεσθαι, ἀπαίρει μὲν τῶν σεβασμίων τόπων, τοῦ Θεοῦ κινοῦντος αὐτόν, πλοίου δέ τινος ἐπιβὰς καὶ ἐπιφόρῳ χρησάμενος πνεύματι ἐν ὀλίγῳ τὴν μεγάλην Ῥώμην καταλαμβάνει. Καὶ ἐν τῷ ναῷ τῶν κορυφαίων τοῦ Χριστοῦ μαθητῶν εἰσελθών, τὰς ἱεράς τε τούτων θήκας κατα/ [25v] σπασάμενος † ... καθάπερ ... καὶ λαλοῦσιν ὁμιλ(ητ)ικῶς † χαρᾶς ἀρρήτου καὶ ἡδονῆς πλησθείς, τήν τε ἀποστολικὴν ἐκείνων χάριν καταπλουτεῖ καὶ διδακτὸς Θεοῦ εὐθὺς ἀναδείκνυται, λαλοῦντα ἔχων καὶ αὐτὸς τὸν παράκλητον καὶ ἐνεργοῦντα ὥσπερ πάλαι τοῖς Χριστοῦ μαθηταῖς τὰ παράδοξα.

Ταύτῃ τοι καὶ ἔργον αὐτῷ ἐκμελέστατον πανταχοῦ τῶν χώρων καταφοιτᾶν καὶ τῷ τῆς ἀληθείας λόγῳ τοὺς διδασκομένους πρὸς αὐτὸν ἐπάγεσθαι, τὴν ἀλήθειαν ἐφελκομένους τούτους πρὸς θεοσέβειαν ἥπερ τὴν μαγνήτην, φασί, τὰ σιδήρια, οὓς μὲν λόγοις διδακτικοῖς ἡδυτέροις καὶ αὐτοῦ μέλιτος, καὶ τοσοῦτον ὅσον τῇ γλυκύτητι προσῆν καὶ τὸ χαρίεν, οὓς δὲ καὶ θεοσημείαις κρείττοσιν ἀριθμοῦ, αἷς τῶν λόγων ἐβεβαίου τὸ ἀναντίρρητον ὡς ἂν μὴ ἔργων χωρὶς τοῖς παχυτέροις προσχωρῶν ὁ λόγος, ἀργός τε εἴη καὶ δυσπαράδεκτος. Καὶ γὰρ πεφύκασί πως τῶν πολλῶν οἱ κακοηθέστεροι σημείοις μᾶλλον / [26r] ἤπερ λόγοις καὶ φωτὸς αὐτοῦ τρανότερον λάμπουσιν ἐφέλκεσθαι πρὸς πειθώ.

Ἐπειδὴ καὶ τὰ σημεῖα, ὥς τις ἔφη, τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσι, διὰ τοῦτο δαίμονες ἀπηλαύνοντο, νόσοι ἐφυγαδεύοντο, παντοῖα παθήματα ἐθεραπεύοντο ἐπικλήσει μόνῃ Χριστοῦ. Τῷ ἁγίῳ βαπτίσματι ὁμοίως τὰ πλήθη προΐεσαν καὶ ψυχαὶ καὶ σώματα ἡγιάζοντο· τὴν κάθαρσιν ἐπεγίνωσκον, τὴν δωρεὰν ὡμολόγουν, τὴν εὐεργεσίαν ἐκήρυττον, τὴν ὁδὸν τῆς ἀληθείας ἀπροσκόπτως ἐβάδιζον, τῷ φωτὶ τοῦ ἁγίου πνεύματος ἐλαμπρύνοντο, τοῖς τοῦ διδασκάλου κελεύσμασιν ἀνενδοιάστως ἐπείθοντο· οἷα νόμον ἀμετακίνητον τὸν ἐκείνου λόγον ταῖς καρδίαις ἐγγράψαντες, καὶ τούτων δεῖγμα ἡ τῆς πατρῴας καὶ ματαιότητος ἐγκατάλειψις, ἡ τῆς τῶν εἰδώλων πλάνης ὑπεροψία, ἡ τῶν παλαιῶν ἠθῶν ἐξαλλαγὴ καὶ μετάθεσις, ἡ τῶν ἀνιέρων ἱερῶν καὶ βδελυγμάτων καθαίρεσις, ἡ ἐπὶ τὰ κρείττω / [26v] τούτων ἐπίδοσις, ἡ πασῶν τῶν ἀρετῶν ἐπιμέλεια.

Ἀλλὰ τίς ἂν λόγος ἐφίκοιτο τῆς περὶ τὰ καλὰ ἐκείνων θερμότητος, καὶ οἷς ἐκεῖνοι ἐνετρύφων ταῖς τοῦ διδασκάλου ὑποθήκαις καλοῖς· εὐχαῖς τε καὶ νηστείαις καὶ πενήτων προμηθείαις τὸ θεῖον ἐξιλεούμενοι, ἁγνείᾳ τε καὶ σωφροσύνῃ ἐκαθαίρουν ἑαυτοὺς καὶ καθαρῶς ἐγγίζοντες τῷ Θεῷ

91 ἀπαίρει nos : ἀπέρει cod. 101 ἥπερ corr. nos : ἥπερ cod.
102 φασὶ corr. nos : φησὶν cod. 107 ἤπερ corr. nos: ἥπερ cod.
124 ἐκαθαίρουν: debebat esse ἐκάθαιρον

τῷ ἐγγίζοντι· ἐξ ὧν ἔλλαμψις ἀπορρητοτέρων μυστηρίων Θεοῦ, ἐξ ὧν τὰ ἐν ἐπαγγελίαις ὑπὲρ νοῦν ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἐξ ὧν ὁ μὲν διδάσκαλος ἐπέραστος τοῖς πᾶσι καὶ τὴν ἀρετὴν ἀπαράμιλλος, πανταχόθεν ταῖς μνείαις φοιτῶν καὶ τοῖς θαυμασίοις ἔργοις ὥσπερ γλώσσαις περιᾳδόμενος· ζηλωτὰ δὲ λίαν καὶ τὰ τῆς αὐτοῦ διδασκαλίας βλαστήματα παρὰ τὰς διεξόδους τῶν ἐκείνου λόγων τρεφόμενα καὶ τῇ ἐκφυείσῃ ῥίζῃ συναμιλλώμενα καὶ τοὺς καρποὺς διδόντα ψαλμικῶς / [27r] εἰσάγειν ἐν καιρῷ ὡς εἶναι κατὰ τὸν εἰπόντα σοφόν, καλῶν διδασκάλων καλὰ τὰ μαθήματα, ἢ μᾶλλον ἀγαθῶν σπερμάτων ἀγαθὰ τὰ γεώργια.

Ἀλλὰ τὰ μὲν τῷ θαυμασίῳ κατωρθοῦτο οὐχ ὡσάν τις οἰηθείη ἀπονητί, οὐ θλίψεων χωρὶς οὐδὲ τῶν ἐπιφυομένων ἔξωθεν πειρασμῶν· οὔτε γὰρ ἐξαρχῆς πολεμῶν ὁρᾶν ταῦτα πράως ἠνείχετο, οὔτε μὴν † ἡ τούτῳ σφόδρα καταπεισθεὶς καὶ τὴν κακίαν ἔχοντες ἀμετάκλητον †. Ὅθεν δὴ καὶ πειρασμοὶ τῷ δικαίῳ πανταχόθεν καὶ δεινῶν ἐπιφοραὶ συνεχεῖς, διωγμοί τε παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν καὶ μάστιγες προσετίθεντο· ἀλλ' ἐκράτει κατὰ πάντων ἀθλητὴς ἐν τῷ ἐνδυναμοῦντι τοῦτον Χριστῷ, οὐχ ἅπαξ μόνον ὑπὲρ τῶν αὐτοῦ προβάτων θεῖναι τὴν ψυχὴν προθυμούμενος, ἀλλὰ καὶ πολλάκις εἰ δυνατόν, μόνον εἰ τῶν κύκλῳ ἐπιτιθεμένων λύκων διασῴζοιντο τὰ ἐκείνου λογικὰ θρέμματα.

Ἐν τούτοις ὁ γενναῖος οὗτος ἀνὴρ διατελῶν / [27v] καὶ τοσούτοις κόποις καὶ ταλαιπωρίαις ἐγκαρτερῶν καὶ διὰ τῆς εὐσθενείας τοῦ κηρύγματος τῷ Θεῷ τοὺς προστυγχάνοντας οἰκειούμενος, ἧκε πρωΐ ποτε καὶ πρὸς τὴν Θετταλῶν γῆν τὸν τῆς διδασκαλίας σπόρον τῇδε καταβαλλόμενος. Καὶ ἦν ἰδεῖν αὐτίκα πλήθη πρὸς αὐτὸν ποταμηδὸν συρρέοντα, τῷ καινῷ θεάματι καὶ ἀκούσματι τοῦ ἀνδρὸς ἐκθαμβούμενα καὶ τῇ τῶν λόγων ἀποστολικῇ σαγήνῃ ῥᾷον χειρούμενα, ἑκόντα ἑαυτοὺς ἐκδιδόντα τῷ θαυμαστῶς ἁλιεύοντι καὶ τῷ Θεῷ δι' αὐτοῦ θυσία καθαρὰ προσαγόμενα.

Οὕτως οὖν προκόπτοντος τοῦ κηρύγματος καὶ τῆς ἀληθείας ἄριστα κρατυνομένης, πρὸς τὸ ἑαυτῆς στῖφος τὰς ὄψεις εὐχερῶς ἐπιστρεφούσης τῶν ἡδέως τὰ ἡδέα βουλομένων ὁρᾶν, ἐπεὶ ὁ τῆς Λαρίσης πρόεδρος, μία δέ τις αὕτη τῶν Θετταλῶν, τὸν βίον ἅμα καὶ τὸν θρόνον ἀπέλιπε καὶ ἐδεῖτο μὲν ἡ τοῦ Θεοῦ ἐκκλησία τοῦ προεδρεύοντος, τὸ λογικὸν δὲ ποί / [28r] μνιον τοῦ προστησομένου καλῶς καὶ ἀπλανῶς αὐτὸ ἐπὶ τὰς τῆς

143 εἰ corr. nos: οἱ cod. 146 εὐσθενείας corr. nos : ἀσθενείας cod.
153 προκόπτοντος corr. nos : προκόπτοντα cod.

142 Joh. 10, 11 καὶ 15

ζωῆς νομὰς ὁδηγήσοντος, εὐθὺς οἱ πάντων ὀφθαλμοὶ πρὸς τὸν μέγαν ἑώρων Ἀχίλλιον καὶ τοῦτον πρόεδρον ὁμοῦ καὶ διδάσκαλον ἠξίουν ψηφίζεσθαι, ὡς καὶ πρὸ τῆς ἀρχιερωσύνης ἤδη ἐκ Θεοῦ τὰ ἐκείνης εἰληφότα γνωρίσματα. Διὰ ταῦτα οὖν τῶν ἐπισκόπων ψήφῳ κοινῇ, θείᾳ δὲ μᾶλλον εἰπεῖν ἥτις κἀκείνων τὰς προθυμίας ἐπτέρωσε, τοῦ τῆς ἀρχιερωσύνης ἀξιοῦται βαθμοῦ, τούτων μὲν συναινούντων τοῖς δεδομένοις ὥσπερ εἰκός, ἐκείνων δὲ ἀντιπραττόντων οἷα τῶν πολλῶν· πάντων δὲ ὁμοῦ συγκεχωρηκότων ὥσπερ ἀπὸ συνθήματος τῷ αὐτῷ φρονήματι καὶ συνθήματι.

Ἀλλ' ὅρα μοι τὰ μετὰ τὴν χειροτονίαν τοῦ ἀνδρὸς προτερήματα· προστασίαι δεομένων, κυβερνήσεις χηρῶν ὁμοῦ καὶ χειμαζομένων, ἀντιλήψεις ἀδικουμένων ἐν πελάγει τῶν βιοτικῶν περιστάσεων, διδασκαλίαι
28v *προϊοῦσαι οἷα καὶ ποταμὸς / αἷς πιαίνων τὰς καρδίας τῶν ἀκροωμένων καλῶς καὶ ἐκτρέφων ἄρτῳ οὐρανίῳ καὶ ζωτικῷ τὰ τῆς μελλούσης ἀγαθὰ ζωῆς καρποῦσθαι ἐναργῶς ἐντεῦθεν παρείχετο· ἐπεὶ μηδὲ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ὥς φησιν ὁ ἐμὸς Χριστός, ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ, ὥσπερ καὶ αὐτὸς ψυχὰς καλῶς πεινώσας διέτρεφε, παντοίων ἐμπιπλῶν ἀγαθῶν καὶ πρὸς αὔξησιν ἄγων τῆς πνευματικῆς ἡλικίας τοὺς ὑπ' αὐτοῦ τρεφομένους. Τῶν δέ τε καὶ σωματικῆς δεομένων τροφῆς ἢ τῶν ἄλλων ἀναγκαίων τοῦ σώματος, τίς οὕτως ἐφρόντιζεν ἢ σπουδαίως προΐστατο, τοῦ ἀποστόλου μεμνημένος διὰ παντός, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι; Διὰ ταῦτα γοῦν ἔθρυπτε πεινῶσιν ἄρτον καὶ γαστέρας ἐνδεῶν ἐδεξιοῦτο φιλοτιμούμενος. Γυμνοῖς δὲ τίς ἑτέρα περιβολὴ ἢ νοσοῦσι θεραπεία ἢ ξένοις καταγωγή, εἴτε ὀρφανοῖς καὶ χήραις προμήθεια,*
29r *εἴτε ἄλλοις ἀθυμοῦσι παράκλησις, / ἢ μόνη καὶ ἀ⟨κρι⟩βεστάτη παράκλησις ἡ ἐκείνου συμπαθεστάτη ψυχή; Τοῖς δέ γε πεπηρωμένοις τὰ ὄμματα εἴτε ὀχλουμένοις πνεύμασιν ἀκαθάρτοις, τίς οὕτως ἑτοιμότατος καὶ ἄμισθος ἰατρός, ὥστε εὐχῇ μόνῃ καὶ χειρῶν ἐπαφῇ ῥᾷον διαλύειν πάντα τὰ ἀλγεινά; Πολλάκις μέντοι τὸ ἄτυφον καὶ ἀνεπίδεικτον περιποιούμενος ἑαυτῷ τοὺς συμπαρόντας παρεκάλει τοῦ συλλαβέσθαι τούτου τῆς προσευχῆς ὡς δια ... φοῦ τελεῖσθαι δοκεῖν τε τῆς θεραπείας τοῖς κάμνουσιν. Τοσοῦτον ἦν αὐτῷ τὸ φιλότιμόν τε καὶ μέτριον καὶ τὸ πᾶσι τρόποις εὖ ποιοῦντα σπεύδειν λαθεῖν. Τὸ δέ γε προορᾶν τὸ μέλλον καὶ προλέγειν φανερῶς ὡς ἤδη παρὸν ἢ τὸ διαλύειν, αὐχμῶν χρονίως πιεζόντων, ξηρότητα*

164 *τούτων* nos : *τούτω* cod. 166 *τῷ* nos : *τὸ* cod.
180 *περιβολῆ* cod. 184-185 *ἄμιστος* cod. 186 *ἀνεπίδεικτον* corr. nos : *ἀνεπίδεκτον* cod. 191 *παρὼν* cod. // *αὐχμῶν* corr. nos: *αὐχμὸν* cod.

172-173 Deut. 8,3; Luc. 4,4
178-179 Ro. 12, 8

καὶ πιαίνειν ὄμβροις τὴν γῆν ἢ κοινῇ στελλόμενος λογισμοὺς λυμαινομένους ἄρδην ἀναστέλλειν παρακλήσει τῇ πρὸς Θεόν, ἢ ἐπιδρομὰς ἀτάκτως ἀνακόπτειν ἐθνῶν, ἀχλύϊ δὲ καταχεομένας αἴφνης ἀπελαύνειν ἐπὶ ὄρη σκοτεινὰ καὶ ἐρημίας καὶ βάραθρα, ἄλλα τε πολλὰ τίς ἐξαρκέσει λόγος παραλαβεῖν;

Ταύτῃ τοι καὶ μόνος ἦν ἐν τοῖς ἁπάντων στόμασιν ὁ ἀνὴρ ἡδὺ τοῖς πᾶσιν ἄκουσμα καὶ διήγημα, ὡς μηδένα τῶν ἁπάντων εἶναι σχεδὸν τῶν
29v *τοῦ ἀνδρὸς θαυμάτων ἀνήκοον· καὶ γὰρ ἐφοίτα / διὰ πάντων τῷ ταχεῖ τῆς φήμης πτερῷ, τὸν προφήτην ἔχων συνεπόμενον καὶ ἐπᾴδοντα, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ λόγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν θα⟨υ⟩μάτων αὐτοῦ ἡ δύναμις. Ὅθεν οὐδὲ τὸν μέγιστον ἐν βασιλεῦσι Κωνσταντῖνον τὰ τῆς φήμης παρέδραμε· οὗτος γὰρ τὸ τηνικαῦτα τοῦ ῥωμαϊκοῦ σκήπτρου καὶ τῆς βασιλείας ἐπείληπτο. Ἀλλ' ἐπληρώθη καὶ αὐτὸς τῶν τοῦ ἀνδρὸς διηγημάτων τὰς ἀκοάς, ὑφ' ὧν ὡς μάλιστα διακαιόμενος τὴν ψυχήν, οἷος ἐκεῖνος τῶν καλῶν ἐραστὴς ἐγλίχετό τε τὸν ἄνδρα ἰδεῖν καὶ ὄψεσιν αὐταῖς καὶ ἀκοαῖς παραλαβεῖν τὰ τῇ φήμῃ περιᾳδόμενα.*

Οὕτως οὖν καθ' ἑαυτὸν τὸν πόθον στρέφων καὶ γράμμασιν βασιλικοῖς ἐκεῖνον μεταστείλασθαι διαμελετῶν, ὥστε μὴ τοῦ ποθουμένου διαμαρτεῖν, ἑτέρως εὗρε τῶν μελετωμένων τὴν ἔκβασιν. Ἐπεὶ γὰρ ἡ ἐν Νικαίᾳ σύνοδος παρὰ πόδας ἤμελλε συγκροτεῖσθαι κατὰ τῆς Ἀρείου μιαρᾶς αἱρέσεως καὶ τῶν ἐκείνης ὑπασπιστῶν, γράμματα δὲ πανταχοῦ τῆς Ῥωμαίων πρὸς βασιλέως ἐφοίτα τοὺς ἐπισκόπους μετακαλούμενα, ἔδει δὲ καὶ τοὺς ἑσπερίους μετὰ τῶν ἄλλων ἁπάντων συνεισελθεῖν, ἧκε σὺν τοῖς ἄλλοις καὶ ὁ μέγας Ἀχίλλιος, ἥλιος καθάπερ διαλάμπων βίῳ τε καὶ λόγῳ καὶ θαύμασιν, ἀποστολικὸς τὸ εἶδος, τὸν τρόπον ἁπλοϊκός, τὴν ὄψιν
30r *χαρίεις, εὐσταθὴς καὶ βεβηκὼς / τῷ φρονήματι. ⟨Καὶ⟩ ἀπ' αὐτῶν τῶν δρωμένων οἱ πατέρες ἠγάσθησαν ⟨καὶ⟩ πολὺ τὸ σέβας τούτῳ προσένειμαν καὶ τὴν ὀφειλομένην αἰδῶ, τῶν πρώτων ἀξιοῦντες παρὰ πάντων τιμῶν καὶ γνησίως ἄγαν προσομιλοῦντες· κἀκεῖνα ὀφθαλμοῖς ὁρῶντες ἃ ταῖς ἀκοαῖς διὰ τῆς φήμης παρείληφαν. Ἀλλ' ἃ βούλεταί τι τῶν ἐκείνου θαυμασίων κατὰ πάροδον ὁ λόγος ἐρεῖν, ἀφελῶς πως, οὕτως καὶ ἀνεπιδείκτως πραχθέν.*

192 *κοινὴ* cod. 194 *ἀχλύϊ* corr. nos: *ἀχλὺς* cod.
199 *ταχὺ* cod. 211 *μελετουμένων* cod. 218 *εὐσταθεὶς* cod.

200-202 Ps. 18 (19), 5; Ro. 10, 18

Ἐπειδὴ γὰρ ἡ τῶν ἡμερῶν Κυριακή, παρῆν μὲν ὁ βασιλεὺς τῆς ἱερᾶς συνόδου προκαθεζόμενος, οἱ δὲ λογάδες τῶν πατέρων τούτῳ συνεδριάζοντες· τὸ δὲ πλῆθος ἅπαν πανταχόθεν συνείλεκτο πρὸς θέαν ἅμα τῶν δρωμένων καὶ ἀκοήν. Οἱ δὲ τῆς Ἀρείου μοίρας ἰσχυρῶς διεμάχοντο, παραλογισμοῖς τισι καὶ ἐπινοίαις κακοτέχνοις περιδονοῦντες τὸ ὁμοούσιον.

Ἀναστὰς εἰς μέσον Ἀχίλλιος καὶ τῇ χειρὶ τὸ πλῆθος κατασιγήσας ἔφη: «Εἰ καλῶς ὑμεῖς φατε», πρὸς τοὺς αἱρεσιάρχας εἶπε, «καὶ τῇ ὁμοουσίῳ καὶ σεπτῇ τριάδι ταῦτα οὕτω δοκεῖ, εἴπατε τῷ λίθῳ τούτῳ», — ἐνώπιος δὲ ἦν οὗτος τῇ συνόδῳ καὶ μέγιστος προὔκειτο — «βλυσάτω ἔλαιον εἰς πίστωσιν τῶν παρ' ἡμῖν λεγομένων· οὕτω γὰρ ἂν γνῶμεν καὶ ἡμεῖς, ὡς οὐκ ἀκαίρως ἡ τῆς ἀ(μ)φισβητήσεως ὑμῶν ἔνστασις γίνεται».

Οἱ δὲ οἷον ἐξαπορηθέντες τῷ ῥήματι καὶ μηδ' ἂν τὸ ὀφθαλμίσαι τῷ 30v *τοιούτῳ μήτε δ' ἐπιχειρῆσαί τι πρᾶξαι / τολμήσαντες, μεταβαλλό[μενοι] οἷον ἀπὸ συνθήματος αὐτὸν ἐκεῖνο δεδρακέναι ἰσχυρῶς διετείνοντο, ἐπιχλευάσαι καὶ [γε]λοῖον δεῖξαι τὸν γεννάδα οἰόμενοι, ὡς μὴ δρᾶσαι δυνάμενον ὅπερ ἐκείνοις προέθετο.*

Ὁ δὲ μηδὲν ἐπιδειλιάσας, «εἰ ἀληθείας οὗτοι κήρυκες», εἶπε, πρὸς τοὺς πατέρας καὶ τὸν βασιλέα ἐπιστραφείς, «καὶ εἰ ἀληθῶς ὥσπερ οὖν καὶ ἀληθῶς ὁ υἱὸς τῷ πατρὶ ὁμοούσιος, βλυσάτω ἔλαιον ὁ λίθος οὗτος εἰς τὴν τῶν ἀπιστούντων βεβαίωσιν». Εἶπε καὶ αὐτίκα, ὢ τῶν παραδόξων ἔργων σου δέσποτα καὶ Θεέ, ῥύακες ἐλαίου κρουνηδόν, ποταμηδόν, ῥιζηδὸν τοῦ λίθου ἀφείθησαν οὕτω δαψιλεῖς, ὡς καὶ πηγὴν ἐλαίου μίαν γεγενῆσθαι πᾶν τὸ ὑποκείμενον ἔδαφος. Τοῦτο οὖν τὸν βασιλέα ἐξέπληξεν ἀλλὰ δὴ καὶ τοὺς λογάδας τῶν πατέρων, θάμβος ἐμποιῆσαν ταῖς ἐκείνων ψυχαῖς· τὰ δὲ λαλοῦντα βλασφημίαν εἰς ὕψος ἀθρόον ἔφραξε στόματα. Αἰσχύνη τε καὶ ἐντροπὴ τὰ πρόσωπα συνεκάλυψε καὶ νῶτα δοῦναι τοὺς 31r *κακίστους αἴσχιστα παρεσκεύασε, / χεῖρα πιστὴν ἅμα θέντες καὶ σιγᾶν ἀγαπήσαντες.*

Οὕτως ὁ ποιῶν μεγάλα καὶ θαυμαστὰ τῶν μὲν ὀρθοδόξων τὸ κέρας ὕψωσε, τῶν δὲ ἀρειανῶν ἐταπείνωσεν ἐλεεινῶς εἰς γῆν τὰ φρονήματα. Οὐδὲν οἶμαι τοῦ μωσαϊκοῦ τούτου θαύματος ἀτιμότερον· καὶ γὰρ ἐκεῖνος

225 *παρῆν* : *παρὴν* cod. 234 *ἦν* nos : *ἢν* cod. 239 *ἐκεῖνο* nos : *ἐκείνῳ* cod.
240 *ἐπιχλευάσαι* corr. nos : *ἐπιχλαβᾶσαι* cod.
242 *εἰ* corr. nos : *οἱ* cod. 248 *τοῦτο* nos : *τοῦτον* cod.
256 *τοῦτο* corr. nos : *τούτου* cod.

264-255 La. 2, 17

θείῳ ἥκων προστάγματι ῥάβδῳ μὲν πατάσσει πέτραν ἐξάγειν ὕδωρ ἁλλόμενον, λαὸν διψῶντα ποτίζων καὶ ἐκλείποντα ἀνακτώμενος· διὸ καὶ ἡ χαλεπωτάτη πρὸς αὐτὸν ἀγανάκτησις καὶ ἡ τῆς ἐπαγγελίας γῆς ἀποστέρησις. Ὁ δὲ πηγὴν ἐλαίου ἀφθόνου ἀπέδειξε τὸν λίθον οὐ πρὸς Θεοῦ κελευσάμενος, ἀλλὰ θαρρήσας Θεῷ· οὐδὲ ῥάβδῳ ῥήξας, ἀλλὰ μόνῳ τῷ ῥήματι· οὐδὲ σώματα ἀνακτώμενος, ἀλλὰ ψυχὰς κινδυνευούσας καὶ ἀπολέσθαι τῷ δίψει τῆς ἀληθείας σπευδούσας· δι' ἃς οὐκ ἐκ Θεοῦ ἀγανάκτησις, οὐδὲ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀποστέρησις, ἀλλ' ἀνοχὴ μεγάλη καὶ βεβαία πάντων κατάσχεσις. Ὅσον δὲ ἐκείνων ταῦτα ἐριτιμότερα, δίδωσιν ὁ λόγος σκοπεῖν.

31v *Τούτοις ἐδοξάσθη μὲν ὁ πάντων Θεός, / ἐπεκρότησαν δ' ἄνωθεν ἄγγελοι· τότε τὸ τῆς ἀληθείας φῶς ἐξέλαμψεν ὑπὲρ ἥλιον, οἱ δὲ τοῦ σκότους ἐργάται, καθάπερ ὄφεις φῶς ὁρᾶν μὴ δυνάμενοι, τοὺς ἑαυτῶν ὑπέδυσαν φωλεούς. Οἱ δὲ τῆς ἀληθείας πρόμαχοι ἅμα τῷ εὐσεβεῖ βασιλεῖ ἐκρότουν ἐπινίκια· εὐχαρίστως ἑώρταζον τῷ βραβευτῇ τῶν ὅλων Θεῷ· ἐδόξαζον τὸν δοξάζοντα αὐτοὺς Κύριον, εὐφήμουν τὸν μέγαν, ἠσπάζοντο, ἐπαίνοις ἐγκωμίων κατέστεφον. «Ἐκόσμησεν ἡμῶν τὴν σύνοδον», ἔλεγον οἱ πατέρες πρὸς τὸν βασιλέα· «ἐκόσμησεν ὁ μέγας Ἀχίλλιος· ὕψωσε τὸ κέρας ἡμῶν, ἐκράτυνε τὴν ἀλήθειαν, τὸ ψεῦδος διήλεγξε, τοὺς ὀρθοδόξους ἐν τῇ πίστει ἐστήριξε, τοὺς πολεμίους κατὰ κράτος ἐτροπώσατο, τὸ τῆς νίκης τρόπαιον ἔστησεν».*

Τὸ μέντοι πλῆθος φαιδροτέραν ἀπεδείκνυε τὴν ἑορτήν, πάντων ἐν εὐφροσύνῃ σκιρτώντων, ὑμνούντων, ἀγαλλιωμένων, χεῖρας κροτούντων, ὕμνους Θεῷ ἀδόντων, τὸν αὐτῶν θεράποντα δοξαζόντων, ἑαυτοὺς μακαριζόντων τῆς βεβαιώσεως, τοὺς θεομάχους ἐξελαυνόντων πόρρω τῶν 32r *ὁρίων πόλεως, / φόβον αὐτοῖς οὐ μικρὸν ἐμποιούντων, μὴ καὶ θυμοῦ ἔργον οἱ δείλαιοι τοῖς ὀρθοδόξοις γένωνται. Διὸ καὶ τὴν φυγὴν ἠγάπων καὶ τὸ λαθεῖν παντάπασιν ἐπετήδευον.*

Ὁ δέ γε θειότατος βασιλεὺς καὶ συνεώρταζε βασιλικώτερον καὶ τοῖς πατράσιν ἔχαιρε φιλικώτερον τιμαῖς βασιλικαῖς καὶ δωρεαῖς ἅπαντας δεξιούμενος. Εἶτα καὶ τὸν μέγαν Ἀχίλλιον σὺν τοῖς ἄλλοις λαβών, εἰς τὴν ἑαυτοῦ πόλιν ἔρχεται, ἣν αὐτὸς ἐπὶ τῷ οἰκείῳ ὀνόματι μεγαλοπρεπῶς καθιδρύσατο, ἵν' ἐκεῖνος μὲν εὐχῶν ὁσίων δαψιλέστατα ἀπολαύσῃ, ἡ δὲ πό-

260 *ἀφθόνου* corr. nos : *ἀφθόνως* cod. 265 *ἐκείνων* corr. nos : *ἐκείνω* cod.
276 *κατὰ κράτος* nos : *κατακράτως* cod.
283 *ἠγάπων* nos : *ἠγάπουν* cod.

257-258 Joh. 4, 14
274 La. 2, 17

λις τῇ τῶν πατέρων ἐπιδημίᾳ εὐλογηθεῖσα ἄσειστος τοῦ λοιποῦ διατηρηθείη καὶ ἀνάλωτος. Καὶ δὴ πρῶτα μὲν τοῖς ἱεροῖς ἅμα πατράσι τῷ ἱεράρχῃ τῆς πόλεως — ὁ μέγας οὗτος Μητροφάνης ἦν — πρόσεισι· τά τε κατὰ τὴν ἱερὰν σύνοδον πραχθέντα αὐτῷ κατὰ μέρος διασαφεῖ· καὶ τὸν θαυμαστὸν Ἀχίλλιον λαβόμενος τῆς χειρός, «Οὗτος», ἔφη, «ἐν Θεῷ τῆς νίκης ὁ βραβευτής· οὗτος ὁ αἰσχύνης τοὺς αἱρεσιάρχας καταβαλών, δόξα δὲ τοῖς ὀρθοδόξοις γενόμενος». Ἐφ' οἷς ὁ μακάριος ἀγαλλιασθεὶς τὴν ψυ-
32v *χὴν καὶ τῷ Θεῷ εὐχαριστήσας / τὰ εἰκότα, τοὺς πατέρας κατησπάζετο μακαρίζων τοὺς ἀγῶνας αὐτοῖς καὶ στρατιώτας ἀληθεῖς ἀποκαλῶν τοῦ Χριστοῦ. Εἶτα καὶ εὐλογήσας ἅμα καὶ εὐλογηθεὶς παρ' αὐτῶν καὶ τὰς ἱερὰς εὐχὰς ἐκείνοις ἀποδοὺς καὶ ἀντιλαβών, ἀπέλυσεν ἐν εἰρήνῃ· τοῦ μεγάλου Ἀχιλλίου τελευταῖον κεφαλὴν καὶ ὄμματα καὶ χεῖρας ἡδέως κατασπασάμενος· «σώζου», λέγων, «στρατιῶτα τοῦ Χριστοῦ καὶ τῆς ἀληθείας ὑπέρμαχε, ὁ μισθός σου μέγας ἐν τοῖς οὐρανοῖς».*

Ἀλλὰ ταῦτα μὲν ὁ θεσπέσιος Μητροφάνης. Ὁ δέ γε πιστότατος βασιλεὺς τὸ σύστημα τῶν ἱερῶν πατέρων ἐκεῖθεν λαβών, ἐπὶ τὰ βασίλεια ἔρχεται, εὐλογηθῆναι ταῦτα ἐπιποθῶν τῇ τῶν μακαρίων ἐπιβάσει ποδῶν· ἐν οἷς καὶ γενομένων αὐτῶν, οὐ πρὸς τὸν βασιλικὸν θρόνον ἀπεῖδεν ὁ βασιλεύς, οὐ πρὸς τὸν ὄγκον τῆς ἀρχῆς καὶ τὴν ἐξουσίαν, ἃ ψυχῶν ἐστι γνωρίσματα ἀγενῶν. Ἀλλὰ βασιλικώτερόν τι ποιῶν καὶ τῆς αὐτοῦ πίστεως ἄξιον, καταβάλλει ἑαυτὸν πρὸς τοῖς ἐκείνων ποσὶ καὶ τὰς ἱερὰς εὐ-
33r *χὰς αὐτῶν αἰτεῖται / μάλα θερμῶς, πολλὰ τιμιωτέρας ταύτας λίθων πολυτελῶν καὶ χρυσίου καὶ αὐτῆς τῆς βασιλείας ἡγούμενος. Ὅθεν καὶ τῆς προσούσης εὐλογίας ἀξιωθείς, εἶτα καὶ τρυφῆς αὐτοῖς κοινωνήσας καὶ λόγων θεοφιλῶν καὶ βασιλικαῖς φιλοτιμίαις δεξιωσάμενος καὶ τελευταῖον ἐπειπὼν ἑαυτοῦ τε καὶ τοῦ κόσμου παντὸς ὑπερεύχεσθαι, ἀπέλυσεν ἐν εἰρήνῃ τοὺς ἀγαθοὺς ποιμένας ἐπὶ τὰ πεπιστευμένα τούτοις λογικὰ ποίμνια.*

Τὸν μέντοι μέγαν Ἀχίλλιον μετὰ τῶν ἄλλων λαβόμενος καὶ πολλὰ δεηθεὶς μεμνῆσθαι αὐτοῦ πρὸς Θεόν, κατασπασάμενός τε καὶ δωρεαῖς τιμήσας βασιλικωτέραις, πρὸς τὴν οἰκείαν πόλιν ἐξέπεμψε, χαίρων ἅμα καὶ ἀλγυνόμενος· τοῦτο μὲν διὰ τὴν εὐτυχίαν τοῦ τοιούτου ἀνδρός, οὗ ὁ κόσμος ἅπας οὐκ ἦν ἄξιος, τοῦτο δὲ καὶ διὰ τὴν ἐκείνου ταχεῖαν διάζευξιν. Καὶ ἠβούλετο μὲν ἐπὶ πλεῖον παρακατέχειν τὸν ἄνδρα, τῷ ἐκείνου θελγό-

292 *ἦν* nos : *ἦν* cod.
309 *αὐτοῦ* cod. 315 *ἑαυτοῦ* corr. nos: *ἑαυτὸν* cod.
316 *τούτοις* corr. nos : *τούτων* cod.

303 Mat. 5, 12

μενος ἔρωτι, οὐκ ἠδύνατο δὲ διὰ τὴν ποθεινὴν ἐκείνου πρὸς τὴν ποίμνην ἀνάλυσιν.

33v *Ὅθεν καὶ ἀπάρας ἐκεῖθεν ὁ μέγας, πρὸς τὴν εὖ πιστευθεῖσαν τούτῳ ποίμνην φοιτᾷ καὶ ἄσμενος ἀσμένοις ἐπιφανείς, οὐδὲ πόσης ἄν τις εἴποι εὐφροσύνης ἐπλήρωσεν ἅπαντας· ᾧ καὶ προστρέχοντες ἅπαντες πανταχόθεν οἱ παῖδες πρὸς πατέρα φιλότεκνον, διὰ μακροῦ χρόνου ἐπανιόντα ἐξ ἀλλοδαπῆς, θεασάμενοι περιεφύοντο θερμῶς προσέπιπτον τοῖς μακαρίοις ἐκείνου ποσίν, ἐκθύμως ἠσπάζοντο. Πρὸς ἑαυτὸν ἐστασίαζον, ποῖος πρῶτος τούτῳ προσεγγίσει καὶ τὸν πόθον ἀφοσιώσηται· χαρᾶς μεγίστης ἐπληροῦντο καὶ ἡδονῆς, ἑορτὴν κοινὴν τὴν τοῦ πατρὸς ἐποιοῦντο ἐπιδημίαν, ἐν κρότοις καὶ εὐφημίαις ἐγέραιρον τὴν ἐπάνοδον, ἐν ὕμνοις εὐχαριστηρίοις ἐδόξαζον τὸν Θεόν, εὐλογιῶν κατηξιοῦντο καὶ εὐχῶν πατρικῶν. Εἶτα δὲ καὶ τὰ κατὰ τὴν ἀποδημίαν ὅπως ἔσχε διεπυνθάνοντο καὶ τὰ ἐν τῇ συνόδῳ πεπραγμένα ἠξίουν μαθεῖν.*

Ὁ δέ, «ὦ τέκνα», ἔφη, «πατέρες καὶ ἀδελφοί, οὐδεὶς ἐλπίσας ἐπὶ
34r *Κύριον κατῃσχύνθη ποτέ· οἱ γὰρ πε/ποιθότες ἐπ' αὐτὸν ὡς ὄρος Σιὼν εἰς τὸν αἰῶνα οὐ σαλευθήσονται, καθὼς εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ὅτι οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ· ἀλλ' ἐν τοῖς φοβουμένοις αὐτόν, ὅς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· ὃν τρόπον καὶ νῦν ἀντετάξατο καὶ κατέβαλε τοὺς ἀλαζόνας αἱρετικούς, μετ' ἤχου ἀπολέσας τὸ ἐκείνων μνημόσυνον· τὴν δὲ ὀρθόδοξον πίστιν ἐκράτυνεν στερεώσας αὐτὴν εἰς αἰῶνα αἰῶνος. Ταῦτα ὁ μέγας εἰπὼν καὶ τὰ τοῦ Θεοῦ τεράστια ἐπὶ τούτοις προσθείς, πάντων εὔφρανε τὰς καρδίας καὶ τὰ φρονήματα ἐβεβαίωσε, τοῦ ἀσφαλῶς τῶν τῆς ἀληθείας δογμάτων ἀντέχεσθαι ἀλλὰ καὶ λόγοις κιβδήλοις καὶ μιαροῖς αἱρετικῶν ⟨μὴ⟩ ὑποκλέπτεσθαι. Πρὸς τούτοις καὶ τὰ ἐκ βασιλέως δῶρα τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ πᾶσι τοῖς χρῄζουσι διενείματο, ἀνώτερος πάντων ἀναφανεὶς καὶ πᾶσι τοῖς παροῦσιν ἄληπτος καὶ ἀχείρωτος σὺν τούτοις*
34v *ἅπασιν / ἐπισκήψας τῆς ἑαυτῶν ⟨ἐπιμελεῖσθαι⟩ σωτηρίας καὶ τῆς εὐσεβοῦς ὑπερεύχεσθαι βασιλείας.*

Καὶ ταῦτα μὲν πρὸς ἐκείνους. Αὐτὸς δὲ τῶν συνήθων εἴχετο ἐπιμε-

325 *εὖ πιστευθεῖσαν* nos : *εὐπιστευθεῖσαν* cod. 326 *εἴπει* cod.
327 *καὶ* corr. nos : *οἶκα* cod.
328 *ἐπανίοντα* cod. 331 *χαρὰς* cod. 351 *ἐπιμελεῖσθαι* add. nos

337-338 Is. 28, 16 — Ro. 5, 5; 9, 33; 10, 11
338-339 Ps. 124 (125), 1
339-341 Ps. 146 (147), 10
341-342 Jac. 4, 6

λῶς ποιμαίνων τὸ ποίμνιον, ἐπὶ νομὰς ἄγων τὰς ζωηφόρους καὶ καθαράς, ὕδατα ποτίζων ὀρθοδοξίας ἀθόλωτα, θῆρας ἀποδιώκων λυμαντικούς· ἐπαγρυπνῶν νυκτὸς καὶ ἡμέρας τῇ τῶν θρεμμάτων Χριστοῦ φυλακῇ, ὑπὲρ ὧν ἔθηκε τὴν ψυχὴν αὐτοῦ ὁ ποιμὴν ὁ καλός· καὶ ὧν τὴν ἐπιμέλειαν μέγιστον τῆς εἰς αὐτὸν ἀγάπης καὶ ὠφελείας δεῖγμα εἶναι αὐτοὺς ἀπεφήνατο. «Εἰ γὰρ ἀγαπᾷς με», φησί, «Πέτρε, ποίμαινε τὰ πρόβατά μου»· ᾧ καὶ οὗτος πειθόμενος ἢ μᾶλλον γρηγόρως ἑπόμενος, εἰ καί τις ἄλλος περὶ τὴν ποιμαντικὴν καὶ ἐνεργὸς διεδείκνυτο· οὐ μόνον τῶν ψυχῶν φροντίζων, ὅπερ δὴ τὸ ἐξαίρετον, ἀλλὰ καὶ αὐτῶν τῶν σωμάτων ἐπιμελούμενος· χηρῶν, ὀρφανῶν, πενήτων, ἀδικουμένων, τῶν κακῶς πασχόντων προϊ-
35r στάμενος ἐν σπουδῇ καὶ πᾶσαν νόσον καὶ μαλακίαν / πάντων ⟨ἰ⟩ώμενος, πᾶσί τε κοινὸν ταμεῖον τῶν ἀγαθῶν, καὶ ἑκάστῳ νέμων εὐθύμως τὸ προσφερόμενον.

Οὕτω τὸν πάντα βίον αὐτοῦ οἰκονομῶν ὁ θαυμάσιος καὶ οὕτω τοῖς ἐκ Θεοῦ δεδομένοις αὐτῷ διαλάμπων χαρίσμασιν, ἐπεὶ τριακοστὸν ἤδη καὶ πέμπτον ἔτος αὐτῷ ἐν τῷ τῆς ἀρχιερωσύνης βαθμῷ διηνύετο, μηνύεται παρὰ Θεοῦ ἡ ποθουμένη ἀνάλυσις. Ἐπόθει γὰρ καὶ αὐτὸς κατὰ τὸν μέγαν τῆς ἀληθείας κήρυκα τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, κἂν διὰ τὰ γεννηθέντα τέκνα αὐτῷ ἐν Χριστῷ Ἰησοῦ ἔστεργε τὴν μετὰ τούτων ἔτι διαγωγήν. Ἐφ' οἷς ἀρρήτου χαρᾶς πλησθείς, γνωρίσας τε τοῖς συμπαροῦσι τὰ τῆς θείας ἀποκαλύψεως καὶ τὰ εἰκότα εὐχαριστήσας Θεῷ, λιθοξόους αὐτίκα μετακαλεῖται καὶ κελεύει λάρνακα λιθίνην ἑτοιμάσαι τούτῳ εἰς ὑποδοχὴν τοῦ τληπαθοῦς ἐκείνου καὶ ἀδαμαντίνου σώματος.

Καὶ τὸ ἔργον λόγου θᾶττον ἠνύετο. Διέρρει δὲ ἡ φήμη πανταχοῦ τῆς τοῦ καλοῦ ποιμένος ἀποδημίας καὶ τὰ τέκνα πανταχόθεν ἐπὶ τὸν ποι-
35v μένα συνέθεον· / εἶτα ⟨αἱ⟩ οἰμωγαί· ἀποδημίαν... τὴν ὀρφανίαν πάντων ἀποδυρο⟨μένω⟩ν συχνῶς. Ὁ δὲ ἠρέμα τὰ χείλη κινήσας, «Μὴ κλαίετε», ἔφη, «τέκνα, μὴ συνθρύπτετέ μου τὴν καρδίαν· Χριστῷ γὰρ τῷ ἀληθινῷ Θεῷ ἡμῶν παρεθέμην ὑμᾶς, ᾧ καὶ πεπιστεύκατε δι' ἐμοῦ καὶ προθύμως ἠκολουθήσατε. Σπεύσατε γοῦν, ὡς ἂν ἀπαράθραυστον τὴν πίστιν τηρήσαντες ἐπιτεύξησθε τῆς βασιλείας αὐτοῦ».

354 ποιμαίνων nos : ποιμένων cod.   355 θήρας cod.
356 φυλακὴ cod.   359 ᾧ nos : ὢ cod.
371 μέγα cod.   373 οἷς corr. nos : ἧς cod. // χαρὰς cod.
384 ἐπιτεύξησθε nos : ἐπιτεύξησθαι cod.

356-357 Joh. 10, 11
359 John. 21, 15-16
363-364 Ro. 12, 8; Matth. 23; 3,35; 10,1
371 Phil. 1, 23

Εἶτα σὺν τοῖς ὄμμασι τὰς χεῖρας διαπετάσας καὶ εὐλογήσας αὐτούς, ἐν εἰρήνῃ ἐπὶ τῷ αὐτῷ ἐκοιμήθη τὸν τοῖς δικαίοις ὀφειλόμενον ὕπνον· τὸ μὲν πνεῦμα χειρὶ Θεοῦ παραθέμενος, τὸ δὲ σῶμα χερσὶ τῶν τέκνων ἀπολιπών, οἳ καὶ ἄγαν εὐλαβῶς αὐτὸ περιστείλαντες καὶ τῇ ἑτοιμασθείσῃ ἐνθέμενοι λάρνακι, ἐν ἱερῷ τόπῳ κρυφίως κατέθεντο· νοσοῦσιν ἀλεξιτήριον, δαίμοσι φυγαδευτήριον, πᾶσι τοῖς προσιοῦσι πιστῶς φυλακτήριον.

Καὶ ἦν μὲν οὗτος ὁ θησαυρὸς ὑπὸ τὴν γῆν χρονίως κρυπτόμενος. Οἱ δὲ τῶν παίδων παῖδες τὸν καλὸν πατέρα τῇ παραδρομῇ τῶν χρόνων
36r ὡς εἰκὸς ἀγνοήσαντες, / ὥσπερ δὴ τὸν Ἰωσήφ, τὸν ἐν Αἰγύπτῳ βασιλέα φημί, τῶν πατρικῶν ἐκείνων ἀγαθῶν διημάρτανον ἐπὶ τριακοσίοις ὥς φασιν ἔτεσιν, ἕως ὁ ἀποκαλύπτων βαθέα καὶ κρύφια φανερῶν θεοσημείαις ἀπορρήτοις τὸν αὐτοῦ θεράποντα ἐξεκάλυψε, μὴ ἀνεχόμενος πάντῃ μήτε τοῦτον ἀγνοεῖσθαι τοῖς οἰκείοις τέκνοις καὶ παρ' αὐτοῖς ὑπάρχειν ἀγέραστον, μήτε μὴν τῶν προτέρων στερεῖσθαι ἀγαθῶν.

Ὅθεν δὴ καὶ φανεροῖ αὐτοῖς τὸν κρυπτόμενον, κατὰ τὴν δεκάτην τοῦ φεβρουαρίου, καὶ δωρεῖται οἷα θησαυρὸν ἀσυλότατον, πηγὴν θαυμάτων ἀέναον, ποταμὸν ἰαμάτων πληρέστατον· ἀμέτρως ὁριζόμενον, οὐ περιόδοις ἐτῶν γραφόμενον, ἀλλὰ παντὶ χρόνῳ συνεκτεινόμενον ἐπιφανέστατα· ὥστε καὶ διαρκέσαι μᾶλλον τούτου παραδοξότερον· ὅτι τῆς τοῦ δικαίου μνήμης ὀκτὼ πρότερον ἡ τιμία σορὸς καὶ τοσαύταις αὖθις μετὰ τὴν ἐκείνης παραδρομὴν λόγου κρείττονας καὶ θαυμασιωτέρας τὰς ἰάσεις ἐκδίδωσι· δαίμονας ἀπελαύνουσα, παντοίας νόσους θερα-
36v πεύουσα, μύρα δαψιλῆ / τοῖς προσιοῦσι προχέουσα, ψυχὰς ... ἁγιάζουσα καὶ πᾶσιν ὁμοῦ πρὸς τὸ συμφέρον νέμουσα τὰ αἰτήματα· εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, τῆς μιᾶς καὶ ἀδιαιρέτου θεότητος ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

386 τῷ αὐτῷ nos : τὸ αὐτὸ cod.   387-388 ἑτοιμασθήσει cod.
392 ἦν nos : ἣν cod.   411 ᾗ nos : ἡ cod.

Β'

ΔΙΑΣΚΕΥΗ ΤΟΥ ΑΡΧΙΚΟΥ ΒΙΟΥ ΤΟΥ ΑΓΙΟΥ ΑΧΙΛΛΙΟΥ ΛΑΡΙΣΗΣ

Ἐκδίδεται ἀπὸ τοὺς κώδικες:
α'. Μονῆς Διονυσίου Ἁγίου Ὄρους 212, φφ. 36^{v}-64^{r} ($=\Delta_1$).
β'. Μονῆς Διονυσίου Ἁγίου Ὄρους 143, φφ. 119^{v}-141^{r} ($=\Delta_2$).
γ'. Μονῆς Μεταμορφώσεως τῶν Μετεώρων 646, φφ. 1^{r}-8^{v} (=M).

ed. = Β. Χ. Σ τ ε ρ γ ι ο ύ λ η, *Ὁ ἅγιος Ἀχίλλιος (Ἀπὸ ἐγκωμιαστικὸ λόγο χειρογράφου τοῦ ιζ' αἰ. τῆς Ἱερᾶς Μονῆς Διονυσίου Ἁγίου Ὄρους)— Ἔκδοση κειμένου...*, Λάρισα 1981.

36^{v} *Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Ἀχιλλίου μητροπολίτου Λαρίσης. Εὐλόγησον, πάτερ.*

Τὸν ἐν ἀρχιερεῦσιν Ἀχίλλιον ὑπόθεσιν τοῦ λόγου προβάλλομαι, Ἀχίλλιον λέγω τὸν πάνυ, ὃν ἡ Καππαδοκῶν μὲν ἤνεγκεν, ἡ δὲ Λαρισαίων κόσμον πεπλούτηκεν. Ἀλλ' οὐκ οἶδα μὲν οὖν ὅπως οὐδ' οἵοις λόγοις περὶ τοὔργον κεχώρηκα. Οὐδὲ γὰρ πρὸς βουλήσεως ἦν μοι· ὀκνῶ γὰρ εἰπεῖν πρὸς δυνάμεως ὡς τοσαύτην ἐνστήσασθαι τὴν ὑπόθεσιν καὶ ἀγῶνα ὑπεισδῦναι τοσοῦτον ἀνδρὸς τοσούτου τὰ θαύματα καὶ τοσούτου τὴν ἀρετὴν
37^{r} *καὶ κρείττονος οὐχὶ τῶν ἡμετέρων λόγων, / ἀλλὰ καὶ τῶν ὑψηλοτέρων πολύ, καὶ τοῦτο μόνον φιλοτιμουμένων, τὴν περὶ λόγον ἐπίδειξιν.*

Οἴκοθεν μὲν οὖν, ὡς εἰρήκειν, οὐχ ὥρμηκα, ἄλλως δέ μοι τὰ τῆς αἰτίας ἐπισυμβέβηκε· τὸ γὰρ τῆς παροιμίας, ἄλλην τρέχων ἄλλην ἐβάδισα. Ὡς γὰρ ἐπιδεδημήκειν τῇ Λαρισαίων, πόλις δὲ αὕτη προκαθημένη τῶν Θετταλῶν, πόλις ἑλληνίς, παλαιὸν ὄνομα καὶ σεμνὸν καὶ τοῖς ἀρχαίοις περιλαλούμενον· περὶ ἣν παραρρεῖ ποταμὸς Πηνειὸς διὰ τῶν Θετταλικῶν Τεμπῶν διερχόμενος, ἐντετυχήκειν δὲ καὶ τῷ αὐτόθι ἀρχιερεῖ τῷ Γοριανίτῃ Θωμᾷ, σεμνῷ τὴν ὄψιν, σεμνοτέρῳ τὸν τρόπον, κοσμίῳ τὸ ἦθος, κοσμιωτέρῳ τὴν σύνεσιν. Πρὸς τούτου περὶ τὴν ἐγχείρησιν κατηνάγκασμαι. «Καὶ γάρ», μοὶ ἔφη, «τί ἂν τῷ μεγάλῳ Ἀχιλλίῳ χαρίσαιο, παρὰ τῷ θρόνῳ τούτου γενόμενος, ὃν αὐτὸς ὑπερφυεστάτως κεκόσμηκεν· εἰ μὴ ἄρα πρὸς εὐφημίαν τούτου χωρήσειας· καὶ εἰ μὴ ἐξ ὧν παρὰ
37^{v} *Θεοῦ εἰλήφεις λόγων, οἷον ἱέρευμά τι, / τούτῳ καλλιερήσειας;*

Ταύτῃ ⟨εἶ⟩πε καὶ πρὸς τὸν λόγον κατέπεισε. Τὰ γὰρ τῆς ἐλπίδος ἐπέρρωσεν, ἐπεὶ παρ' ἀνδρὸς ἱεροῦ καὶ ἀγαθοῦ ποιμένος τὰ τῆς πειθοῦς καὶ πρὸς ἱερὸν ἄνδρα τὰ τοῦ λόγου μοι ἀνατείνεται, καλῶς ὑπὲρ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀγωνισάμενον. Ἐξ ἀμφοτέρων δὲ ἡ χάρις ὅτι πολλή· καί γε ἐξ ἑκατέρου καὶ μόνου τὴν ἰσχὺν περιφέρουσα, μὴ ὅτι γε συνεληλυθότοιν ἀμφοῖν καὶ τὴν ἐργασίαν συγκροτησαμένοιν πρὸς τὴν συντέλειαν.

Ἀλλὰ τὰ μὲν τῶν προοιμίων ἅλις, ἐπ' αὐτὴν δὲ ἤδη τῶν ἐγκωμίων τὴν νύσσαν βαδίσωμεν, ἐκεῖθεν ἐφελκυσάμενοι δύναμιν τοῦ λόγου δρόμον ἀνῦσαι, ὅθεν καὶ ὁ εὐφημούμενος ἐφελκύσατο καὶ τὰ μέγιστα τῶν ἔργων εἰργάσατο. Σὺ δέ μοι, ὦ σεπτὲ Ἀχίλλιε, ἵλαθι καὶ εἰ μὴ τὰ τῆς εὐφημίας ἐξισωθεῖεν τῇ ἀρετῇ.

Ἀχιλλίῳ τοίνυν πατρὶς μέν, ὡς ἔφημεν, ἡ Καππαδοκῶν, ὥσπερ ἀμέλει καὶ ἡ τῶν Χαλδαίων τῷ Ἀβραάμ· καί γε παραλληλίζων τὸν ἄνδρα
38^{r} *τῷ Ἀβραάμ, οὐχ ἵνα τι τούτῳ χαρίσωμαι, / ἀλλ' ἵνα μᾶλλόν τι πρὸς φιλοτιμίαν τῷ προτέρῳ ⟨πα⟩ράσχωμαι. Ἔσχε γὰρ τὰ κατὰ τουτονὶ τὸν πατριάρχην τὸν νέον τε καὶ ἡμέτερον πολὺ τὸ θειότερόν τε καὶ ὑψηλότερον ἢ τὸν πρῶτον ἐν πατριάρχαις καὶ παλαιὸν Ἀβραάμ, καθὼς ἐν καιρῷ τὰ τῆς ἱστορίας μοι παραστήσειεν. Ἀλλ' ὅπερ οὖν ἔφην, Καππαδοκία μὲν τοῦτον οἷόν τι ἄνθος εὐῶδες ἢ καρπὸν ἀείζωον ἀναβλαστάνει καὶ ἀναφύει, πολλὴν τὴν εὐωδίαν τῷ Χριστοῦ λάχει καὶ γλυκύτητα γεύσεως ἐν τοῖς ἔμπροσθεν παρεχόμενον ἢ προσφυέστερον εἰπεῖν ὡς ἄδυτον φάος ἀνέσχει, ἡλίου λαμπρότερον περιαυγάζον τὰ πέρατα.*

Τοιαῦτα τῆς καλλίστης Καππαδοκίας μοι τὰ βλαστήματα, τὰς ἄλλας ἀποκρυπτούσης πόλεις τε καὶ κώμας τοῖς περιφανεστέροις γεννήμασιν· ἣ καὶ Βασιλείους καὶ Γρηγορίους ἀνέβλαστε, πολὺ τὸ ἐπίσημον κἂν τοῖς λόγοις κἂν ταῖς ἀρεταῖς ἐπιφέροντας. Πρὸ τούτων δὲ καὶ τὸν μέγαν τοῦτον Ἀχίλλιον, ὅν, οἶμαι, καὶ τύπον ἔσχον οἱ μετ' αὐτὸν τοῦ

6 *οἶδα μὲν* : *οἶδα μὲν* Δ_1· *οἴδαμεν* Δ_2 // *περι* $\Delta_1\Delta_2$
8 *τοσαύτην* : *τοσούτην* $\Delta_1\Delta_2$

19-20 *περὶ τὴν ἐγχείρησιν κατηνάγκασμαι* om. Δ_2 ed. 24 *ταύτῃ εἶπε* corr. nos : *ταύτῃ πε* $\Delta_1\Delta_2$· *ταῦτ' εἶπε* ed. 29 *συγκροτησαμένην* $\Delta_1\Delta_2$
30 *ἅλις* : *ἄλλις* $\Delta_1\Delta_2$ 31 *νύσσαν* : *ἰοῦσαν* ed.
34 *ἐξισωθεῖεν* corr. nos : *ἐξισωθεῖ ἐν* $\Delta_1\Delta_2$· *ἐξισωθῇ ἐν* ed. 45 *περιαυγάζων* $\Delta_1\Delta_2$
49 *κἂν ... κἂν* $\Delta_1\Delta_2$ ed.

38v /λόγου τε καὶ τῆς πράξεως καὶ κανόνα τε μὴ παρεγκλίνοντα πρὸς ἀρετὴν τε καὶ θεοσέβειαν.

Ἀλλ' ἡ μὲν πατρὶς τοιαύτη τῷ μάκαρι, ἣν καὶ ἐπαινοῦσι πολλοί, ὅτι καὶ ἐπαινετέα καθέστηκε, πλείστοις τοῖς καλοῖς ἐπιβρίθουσα. Ἀλλ' ἡμῖν οὐ τοῦτο σκοπός, εἰς ἐγκώμιον ταύτης ἰέναι, οὐδὲ πρὸς σπουδῆς τὴν ἐνεγκαμένην ἐγκωμιάζειν, ἵνα μὴ τοῦ ἔργου μεῖζον φανείη τὸ πάρεργον καὶ τοῦ προκειμένου τὸ μὴ σκεπτόμενον· ἢ καὶ δόξαι μέντοι τῷ εὐφημουμένῳ παρὰ πατρίδων χαρίζεσθαι, ἣν οὐδένα λόγον οὗτος πεποίηται. Ἀλλὰ πατρὶς μὲν αὕτη.

Πατέρες δὲ αὐτῷ, ἀλλὰ καὶ τούτων ἀκροθιγῶς, ὁ λόγος ἅψαιτο· ὅτι μηδ' ἐκ τούτων περιφανὲς ἐκείνῳ γεγένηται, εἰ μὴ καὶ μᾶλλον τὸ ἀνάπαλιν. Ἐκ τοῦ ὕδατος γὰρ τὰ τῆς πηγῆς ἐπεγνώρισται, ἐκ τοῦ καρποῦ τε τὸ δένδρον ηὐλόγηται κἀκ τοῦ γεωργίου τὸ πρῶτον σπέρμα καὶ δεδόξασται καὶ τεθαύμασται. Κλήσεις μὲν γὰρ πατέρων τοῦ θαυμασίου τούτου ἀνδρὸς ἡ μὲν ἱστορία ἡμῖν οὐ παρέδωκεν, πλὴν ὅσον διάφορον αὐτῶν
39r τὴν ἀρετὴν πρὸς τοὺς ἄλλους παρέστησεν. / Εὐσεβεῖς γὰρ οὗτοι καὶ τῶν ἡμετέρων τῆς ἀληθείας δογμάτων ἀκριβέστατοι φύλακες, πρ⟨ᾶγ⟩μα οὔπω τότε τοῖς πολλοῖς εἰς ἀκρότητα σπουδαζόμενον, ἐπεὶ μηδὲ τοῦ ἡμετέρου σεβάσματος οἱ τότε κρατοῦντες ὄντες ἐτύγχανον, εἰ καὶ μικρὸν ὕστερον τὰ ἡμέτερα ἐπιδέδωκε, καιροῖς ἰδίοις τοῦ σαρκωθέντος ἐπευδοκοῦντος καὶ τὰ τῆς εὐσεβείας πλατύνοντος. Ἀλλ' οὗτοι μὲν καὶ οὕτως τούτων ἐχόντων, Χριστοῦ τὴν χάριν ἐδέξαντο καὶ Χριστῷ διὰ τοῦ βαπτίσματος συνηγέρθησάν τε καὶ συνανέστησαν, θαυμαστοὶ γεγονότες τὴν πίστιν καὶ τὰ εἰς πρᾶξιν θαυμασιώτεροι, ὕμνοις θείοις καὶ ψαλμοῖς χαίροντες, πενήτων κηδόμενοι, χηρῶν προϊστάμενοι, ὀρφανῶν ἀντιλαμβανόμενοι, πάντα τοῖς ἐνδεέσι γινόμενοι· χεῖρες τοῖς δεομένοις χειραγωγίας, ὁποίαν ταύτην τὴν χειραγωγίαν ὑπονοήσειας· πόδες τοῖς τούτων λειπομένοις καθ' ὅντινα οὖν τρόπον τε καὶ περίστασιν, ὀφθαλμοὶ τυφλῶν, τῶν τε νοουμένων
39v καὶ φαινομένων· κωφευόντων ὦτα, ἅπαν τε / μέλος καὶ μέρος τοῖς χρήζουσι καὶ ἁπλῶς τῶν πάντων τοῖς πᾶσιν εὐτυχέστατον ἕρμαιον. Καὶ συνελόντα φάναι τοσοῦτοι οὗτοι τὴν ἀρετήν, ὥστε, καὶ εἰ μὴ τοιοῦτον νόμον ἔσχον, ἀρκεῖν ἑαυτοῖς εἰς εὐδοξίαν τὴν πολιτείαν καὶ τὴν ἀρετὴν ἔχειν, ὡς ἐπίσημον γνώρισμα. Τοιοῦτοι δὲ γεγονότες καὶ τοὺς ἄλλους νικῶντες, παρὰ τοῦ παιδὸς καὶ μόνου τὸ κρατιστεῖον φέρειν κεκώλυνται.

Ταῦτα δὲ διεξῄει ὁ λόγος, οὐχ ἵνα κόσμος ἐκ γεννητόρων τῷ εὐφημουμένῳ προσγένοιτο, —οὐδὲ γὰρ τῷ Ἀτλαντικῷ πελάγει ὑδάτων χρεία

57 ἢ : εἰ Δ_2 ed. 60 π(ατέ)ρες: πατρὶς ed.
85 διεξίει $\Delta_1\Delta_2$ 86 Ἀτλαντικῷ : ἀντλαντικῷ $\Delta_1\Delta_2$

πρὸς πλήρωσιν— ἀλλ' ἵνα πᾶσι γνωρίσαιμεν οἵων ἐκείνῳ τῶν παραδειγμάτων ὄντων ὡς ἀρχετύπων πινάκων, ὅσους ὑπερήλατό τε καὶ ὑπερέβαλεν· ἅμα τε καὶ τὸ παρὰ πᾶσι κατὰ τὸ μᾶλλον κρατοῦν, κἂν τούτῳ γνοίημεν. Ἀγαθοὶ μὲν γὰρ ἐξ ἀγαθῶν ὡς ἐπίπαν καὶ φαῦλοι ἐκ φαύλων γεγέννηνται, τὸ δ' ἐναντίον ἐπ' ἔλαττον· ὅτι μηδὲ ἡ φύσις οἶδε τοὺς τοιούτους
40r λόγους, ἀποτεύγματα καὶ γὰρ / ταύτης καθέστηκε. Καὶ ὁ μαρτυρῶν ἐν τοῖς ἱεροῖς εὐαγγελίοις πιστός· «Οὐδέποτ' ἂν δένδρον», φάσκων, «σαπρὸν δύναιτο τίκτειν καρποὺς ἀγαθούς». Καὶ αὖθις δὴ τὸ ἀντίστροφον, ὅπερ ἀμέλει καὶ ἐπὶ τῷ θαυμασίῳ τούτῳ ἀνδρὶ ξυμβέβηκεν εὖ ποιοῦν, ὡς ἂν μὴ δοκοίη παῖς διαστῆναι πατέρων εἰς ἀρετήν· καὶ πατέρες χρηστοὶ παιδὸς ταῖς ἀγαθουργίαις μὴ ἐπευφραίνοιντο. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον καὶ ἀρκούντως ἔχειν τῶν ἐγκωμίων τῶν πατρικῶν εἰς ἐκείνους διὰ τούτου προσφερομένων ὡς ἀπαρχῶν κατὰ τὸ θεῖον παράγγελμα.

Ἐκ τούτων γοῦν ὡς εἰρήκειμεν φύς, τὴν ἀνατροφὴν κατάλληλον εὕρατο καὶ τῇ ἀνατροφῇ τὴν παιδείαν συντρέχουσαν. Ἐκπαιδεύεται γὰρ ἔτι παῖς ὢν τὴν ἐγκύκλιον ταυτηνὶ παιδείαν, ἣ γλῶτταν ἐξελληνίζει καὶ ψυχὴν ῥυθμίζει καὶ λόγον καλλωπίζει τὸν προφερόμενον· μαθήματά τε παρέχει καὶ πρὸς τὴν τῶν ὄντων γνῶσιν τὸν νοῦν ἀνεγείρει καὶ τὴν τῶν ἐν τῇ φύσει κατάληψιν.

40v Τοῖς τοιούτοις γοῦν ἐφ' ἱκανὸν ἐνδιατρίψας παιδεύμασι καὶ ὅσα ἦν εἰκὸς ἐκ τούτων ἐρανισάμενος καὶ τὸ τῆς μελίττης ἐν ἑαυτῷ ἐνδειξάμενος, ἣ καὶ ἐκ πικροχύμων τῶν βοτανῶν μέλι γλυκύτατον ἐθησαύρισε, τοῖς θύραθεν τῶν λόγων χαίρειν εἰπών, παρὰ τὸν λειμῶνα τῆς ἡμετέρας καὶ εὐγενεστέρας παιδείας ἀφίπταται. Κἀκεῖθέν τε συλλέγει σύμπαν πρὸς ὄνησιν καὶ τοῖς ἔνδον σίμβλοις ἐναποτίθεται, τὸ ἦθός τε ῥυθμίσας τοῖς πρακτικοῖς τῶν λόγων καὶ οἷον καταγλυκάνας εἰς ἔντευξιν καὶ τὸ τῆς ψυχῆς νοερὸν ἐκκαθάρας καὶ εἰς ἄκρον καταλαμπρύνας τοῖς ἱεροῖς λογίοις καὶ δόγμασιν.

Ἐπεὶ αὐτῷ καλῶς εἶχε καὶ τὰ τῆς παιδείας τῆς τ' ἔξω, τῆς τε θειο-

87 πᾶσιν $\Delta_1\Delta_2$ ed.
88 ὅσους corr. nos : ὅσοι $\Delta_1\Delta_2$· ὅσοις ed. // ὑπερείλατό ed. 123
88-89 ὑπερέβαλλεν $\Delta_1\Delta_2$ 90-91 γεγένηνται ed. 91 ἐπ' ἔλαττον nos : ἐπέλαττον $\Delta_1\Delta_2$· ἀπέλαττον ed. 92 ἀποτεύγματα : ἀποτεύματα $\Delta_1\Delta_2$ 93 φάσκον $\Delta_1\Delta_2$
96 διαστῆναι nos : δυστῆσαι $\Delta_1\Delta_2$· διαστῆσαι ed. 98 ἀρκοῦντος $\Delta_1\Delta_2$
102 ἣ : ἡ $\Delta_1\Delta_2$ 103 προφερόμενον : προσφερόμενον Δ_2 ed. // μαθήματά τε: μάθημά τε Δ_2 ed. 106 ἦν : ἣν $\Delta_1\Delta_2$ 108 πικροχύμων : πικρολύμων Δ_2 ed.
110 εὐγενεστέρας : εὐστενεστέρας Δ_2 ed. 113 λογίοις: λόγοις ed.

93-94 Matth. 7, 18

τέρας καὶ ἡμετέρας, καὶ κατακόρως τούτων ἐμπέπλησται, τί τὸ ἐντεῦθεν; Οἱ γεννήτορες μὲν αὐτοῦ τὸν τῆς ἐνταῦθα ζωῆς μετήλλαξαν βίον. Δεσπότης δὲ οὗτος τῶν πατρικῶν πραγμάτων ἀπολειφθείς, —πολλὰ δ' ὑπῆρχον καὶ τὰ τῶν πολλῶν ὑπερβάλλοντα— ἔδειξεν ὡς οὐχ ὕλης τε καὶ
41r *τῶν κάτω κληρονομῆσαι ἦν αὐτῷ πρὸς ἐφέσεως, | οὐδὲ τῶν χαμαὶ δεσπόσειν κινουμένων καὶ φθειρομένων. Ταῦτα γὰρ τῶν ἀγενεστέρων τὸ φρόνημα καὶ ταπεινοτέρων τὸ βούλημα, οἳ καὶ πρὸς αὔξην τῶν κτημάτων χωροῦσι καί, εἰ μὴ πλείω τῶν καταλελειμμένων ἐργάσοιντο, οὐκέτι στερκτὰ λογίζοιντο. Ἀλλ' οὐχ οὕτως ὁ σοφὸς κληρονόμος τῆς πατρικῆς ἀρετῆς· οὐδενὸς τὴν αὔξην τε καὶ τὴν πρόσθεσιν, ἀλλὰ τὴν πρὸς τὰ χρηστὰ τῶν ἔργων σπουδὴν παρ' αὐτῶν ὥσπέρ τινα μικρὸν δεξάμενος κλῆρον, ἐς τοσοῦτον ἐπολλαπλασίασε τὸ κληρούχημα, ὡς καὶ ὑπερβαλεῖν τοὺς ἐν εὐαγγελίῳ δούλους πιστούς, τοὺς τοῦ σφῶν κυρίου πολυπλασιάσαντας ⟨τὰ⟩ τάλαντα. Οὐ γὰρ ὡς διπλῆν τινα κατ' Ἐλισσαῖον παρὰ Ἠλιοὺ τὴν χάριν οὗτος πρὸς τοὺς γεγεννηκότας ἐδέξατο, ἀλλ' ὑπὲρ μέτρον παρὰ Θεοῦ, εἴ τις αὐτὴν παραμετροίη τοῖς πράγμασιν. Ὡς γὰρ δεσπότης τῶν πατρικῶν πραγμάτων ἐναπολέλειπτο, —πολλὰ δ' ὑπῆρχον αὐτῷ, καθάπερ εἴπομεν, τοῖς γεννήτορσιν— εἰς χεῖρας τηνικαῦτα τῶν πενήτων ἐνα-*
41v *ποτίθησι καὶ εἰς κοιλίας θησαυρίζει πτωχῶν, | ὅπου σὴς οὐδὲ βρῶσις ἀφανίζει, κατὰ τὴν τῆς ταυτοαληθείας ἀπόφασιν· καὶ ὅπου οὐ κλέπται οὐ μὴν διορύσσουσιν οὔτε δὴ καθαρπάζουσιν. Ἐκ γὰρ τῆς κάτω καὶ ἡμετέρας ἐσχατιᾶς εἰς οὐρανοὺς ὁ πλοῦτος ἀνάγεται τὸ θαυμάσιον· καὶ περὶ γῆν τὴν πραγματείαν λαβών, ὑπὲρ τὸν οὐρανὸν τὴν ἐμπορίαν συνήγαγε κἀκεῖ τοὺς θησαυροὺς ἐταμίευσε.*

Ταῦτα καὶ οὕτω σοφῶς ὁ καλὸς κληρονόμος καὶ χρηστὸς οἰκονόμος διανοησάμενος ἔπραττε καὶ ἠγανάκτει, ὅτι μὴ πλείω τούτῳ τὰ τῆς κληρονομίας ἐγγίνοιτο, ὡς ἵνα πλείω σκορπίσειε· καὶ πλείω τοῖς οὐρανοῖς θησαυρίσειε· καὶ πέπονθε πάθος κατ' ἴσον μὲν τοῖς φιλοχρύσοις καὶ φιλοπλούτοις, οἳ πολλὰ δυσχεραίνουσιν, ὅτι μὴ πλείω παρὰ τῶν γειναμένων

120 *ἦν* : *ἦν* $\Delta_1\Delta_2$ // *ἐφέσεως* : *ἐφέσεον* Δ_2· *ἐφέσιον* ed. 121 *ταῦτα* : *τοῦτα* Δ_2
122 *αὔξιν* $\Delta_1\Delta_2$· *αὖξιν* ed. 123-124 *στερκτὰ* corr. nos : *στεκτὰ* $\Delta_1\Delta_2$ ed.
125 *αὔξιν* $\Delta_1\Delta_2$· *αὖξιν* ed. 126 *τινα* : *τιμα* Δ_2 127 *ὑπερβαλλεῖν* $\Delta_1\Delta_2$
130 *γεγενηκότας* $\Delta_1\Delta_2$ ed. 140 *οὕτω* corr. nos: *οὗτος* $\Delta_1\Delta_2$ ed.
143 *κατ' ἴσον* nos : *κατίσον* Δ_1 ed.· *κατῖσον* Δ_2 // *φιλοχρύσοις* corr. nos : *φιλοχρύστοις* Δ_1· *φιλοχρίστοις* Δ_2 ed. 144 *οἳ* : *οἱ* $\Delta_1\Delta_2$ // *γιναμένων* $\Delta_1\Delta_2$ ed.

127-129 Matth. 25, 20-23
134-136 Matth. 6, 20

ἠνέγκαντο· οὐκ ἐκ τῆς αὐτῆς δὲ διανοίας, οὐδὲ ἐκ τοῦ ἴσου σκοποῦ, ἀλλ' ἐκ σεμνοτέρου τοῦ τρόπου καὶ ὑπερκειμένης προαιρέσεως. Ποῦ μοι πρὸς ταῦτα οἱ παρὰ τοῖς ἔξω φιλοσοφήσαντες; Οἱ δεινοὶ τὸν λόγον ἀλλ' οὐ
42r *τὸν τρόπον, οἱ σεμνοὶ τὰς ὄψεις ἀλλ' οὐ τὰς σκέψεις, οἱ θαυμαστοὶ | περὶ τὰς τῶν συλλογισμῶν πλοκάς, ἀλλ' οὐ περὶ τὰς τῶν λογισμῶν ἀντιλήψεις τῶν ὠφελίμων; Οἱ τὰς ὀφρῦς αἴροντες καὶ μόνον ἀπερυγγάνοντες; οἱ κηλοῦντα δεικνύντες τὰ χρήματα, εἰ καὶ εἰς θάλατταν ἀπορρίπτοντες, ὡς ἂν ὑβρισθείη καὶ κτίσις δημιουργοῦ, πρὸς χρῆσιν γενομένη καὶ δεομένων βοήθειαν, καὶ συνατιμασθείη Θεὸς ἀσόφως δημιουργήσας καὶ μάτην ὑποδείξας ὕλην τιμήεσσαν; Ἀλλ' οὗτοι μὲν μενόντων οἷς μεμενήκασι. Τὰ γὰρ ἡμέτερα πολλῷ Θεῷ μεγαλοπρεπέστερά τε καὶ προσφιλέστερα.*

Ἐπεὶ δὲ ᾗ καλῶς τὰ τῶν πραγμάτων ἐπῳκονόμηται κἀκ τούτων καθάπαξ γεγύμνωται, μόνος μόνῳ Θεῷ προσεγγίζειν βεβούληται, καθαρῶς τῷ καθαρωτάτῳ, καὶ τῆς ἐκεῖθεν μεταλαμβάνειν αἴγλης τε καὶ λαμπρότητος. Διὰ ταῦτα καὶ τελεωτέρας τῆς διαγωγῆς ἅπτεται καὶ πολιτείας τῆς ὑψηλοτέρας καὶ κρείττονος· καὶ γινώσκει Θεὸν καὶ παρὰ τού-
42v *του γινώσκεται καὶ γίνεται Ἀβραὰμ ἀλλ' οὐκ ἀκούει: | «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ γῆν σοι ἑτέραν κληροδοτήσω· καὶ θήσω τὸ σπέρμα σου ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς ἁλμυρᾶς». Ἀλλὰ τοῦ εὐαγγελικοῦ ἐπακροᾶται ῥητοῦ, τοῦ, ὡς, «Εἰ θέλεις γενέσθαι», φάσκοντος, «τέλειος, δὸς τὰ ὑπάρχοντά σοι πτωχοῖς καὶ ἆρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι· ὃ δὴ καὶ ποιεῖ μετὰ τῆς αὐτῆς προθυμίας καὶ τῆς ὁμοίας δυνάμεως.*

Μετὰ γὰρ τὴν καλὴν ἐκείνην καὶ θαυμαστὴν ἀποβίωσιν, μετανάστης τῶν πατρικῶν χώρων γίνεται καὶ πρὸς τοὺς ἁγίους τόπους χωρεῖ καὶ ξενιτεύει ὡς Ἀβραάμ, ἵνα υἱὸς Θεοῦ καὶ πατὴρ ἐθνῶν χρηματίσειε καὶ τέκνα γεννήσειεν ἐν Χριστῷ, ἀριθμῷ ἄμμον καὶ ἀστέρων λάμψεσιν ὑπερβαλλόμενα, πολύ τε τὸ ὑψηλότερόν τε καὶ θειότερον τῶν ἀβραμιαίων αὐχοῦντα τέκνων καὶ τῆς εὐλογίας καὶ τῆς αὐξήσεως. Καὶ τοσούτῳ κρείττω, ὅσῳ τῶν κάτω τὰ ἄνω καὶ τῶν γεηρῶν τὰ οὐρά-

147 *τοῖς* corr. nos : *τῆς* $\Delta_1\Delta_2$. ed.
150 *ὀφρὺς* $\Delta_1\Delta_2$ ed. 151 *κηλοῦντα* corr. nos : *μηλούντα* $\Delta_1\Delta_2$· *μηλοάπτα* ed. // *εἰ* corr. nos: *ἤ* Δ_1. *ἢ* Δ_2 ed. 156 *ᾗ* corr. nos : *οἱ* $\Delta_1\Delta_2$· *ὡς* ed.
158 *καθαρωτάτῳ* : *καθαρῶς. Τούτῳ* ed.
164 *ἁλμυρᾶς* : *θαλάσσης* Δ_2 ed. 165 *ὡς* om. ed.
168 *ἀποβίωσιν* : *ἀποκείωσιν* ed. 169 *χώρων* : *χωρῶν* ed.
171 *ἀριθμῷ* corr. nos : *ἀριθμῶν* $\Delta_1\Delta_2$· *ἀριθμὸν* ed. // *ἄμμων* $\Delta_1\Delta_2$ 172 *λάμψεσιν*: *λάμψιν* ed. 174 *τοσούτων* $\Delta_1\Delta_2$

165-166 Matth. 19, 21-22; Mar. 10, 21-22; Luc. 18, 22-23

43r νια καὶ τῶν φθειρομένων τὰ αἰωνίζοντα. Ἀλλὰ καὶ ὡς Μωσῆς | οὐχ ἧττον πρὸς τὴν ἐπαγγελλομένην χωρεῖ, πάντων ὑπερφρονήσας τῶν ἐν Αἰγύπτῳ καὶ τυραννίδος καταφρονήσας τοῦ Φαραώ, ὡς τὸ οἰκεῖον διασώσει⟨εν⟩ ἔθνος καὶ πρὸς ἐλευθερίαν καθοδηγήσειεν, εἴσω τῆς ἀπατηλῆς ἡδονῆς καὶ τῶν ῥεόντων καὶ μὴ ἑστώτων τερπνῶν, πρὸς τὴν κατὰ Χριστὸν ζωὴν καὶ τὴν ἐντεῦθεν μακαριότητα. Τοιοῦτοι οἱ τοῦ ἐμοῦ Χριστοῦ Μωυσέες καὶ τοιοῦτοι οἱ Ἄβραμοι καὶ τοιαῦται τούτων αἱ μεταστάσεις καὶ τὰ θαυμάσια· οὐκ ἐκ γῆς εἰς γῆν ἀφικομένων, ἐκ τυραννουμένης πρὸς ἐλευθέριον, ἐκ δεδουλωμένης εἰς αὐτοδέσποτον, οὐδ' εἰς γάλα καὶ μέλι ῥέουσαν, τάχα τροφὴν νηπίοις ἔτι ἁρμόττουσαν ἢ καὶ ἐξαπατῶσαν τῷ γλυκερῷ τῶν αἰσθήσεων, ἀλλ' ἐκ τῶν φαινομένων καὶ αἰσθητῶν εἰς τὰ κρείττω καὶ ὑπὲρ αἴσθησιν κἀκ τῆς τῶν ὄντων ὁρατῆς καταλήψεως ἐπὶ τὴν θεωρητικὴν κατανόησιν.

Ἐπεὶ γοῦν ὑπῆρξε τῷ θαυμαστῷ τούτῳ ἀνδρὶ τὰ τῆς μεταχωρή- 43v σεως κατὰ βούλησιν καὶ πρὸς τοὺς ἁγίους, ὡς ἔφημεν, τόπους | ἐπιδεδήμηκεν, ἔνθα τὸ μέγα καὶ πρὸ αἰώνων ἀφωρισμένον, ἐπ' ἐσχάτοις δὲ τοῖς χρόνοις πεπραγμένον, τῆς ἡμετέρας, λέγω, σωτηρίας ἱερουργήθη μυστήριον, ἔνθα τὸ ἀπαύγασμα τοῦ Θεοῦ καὶ πατρός, ὁ συναΐδιος αὐτοῦ καὶ ἀπαράλλακτος χαρακτὴρ δι' ἄκραν φιλανθρωπίαν ἐξ ὑπεράγνων αἱμάτων τῆς Παρθένου καὶ Θεοτόκου τὸ ἡμέτερον ἀνελάβετο φύραμα καὶ ἀνθρωπικῶς ἡμῖν προσωμίλησεν, ἔνθα οἱ πόδες ἔστησαν τούτου καὶ τὰ μεγάλα τῶν ἔργων τετέλεσται, ἔνθα τὸ στῖφος τῶν μαθητῶν ἐξελέγησάν τε καὶ συνειλέχθησαν, ἔνθα τὸ θεῖον πάθος καὶ ἡμῖν σωτήριον πεπραγμάτευται, ἔνθα ὁ σταυρὸς καὶ ὁ τάφος καὶ ἡ τῆς ἀναστάσεως λάμψις καὶ ἡ πρὸς τὸν πατέρα τοῦ μονογενοῦς ἄνοδος καὶ ἁπλῶς εἰπεῖν, ἔνθα πάντων τῶν θειοτέρων μυστηρίων ἀποκατάστασις, ἐν οἷς καὶ οὗτος γενόμενος, μονονουχὶ συνακολουθεῖν ἐδόκει Χριστῷ καὶ τῶν ἐκείνου διδαγμάτων ἀκούειν καὶ τῶν θαυμάτων μεταλαμβάνειν καὶ τῆς ἐκεῖθεν λαμπρότητός τε καὶ χάριτος.

44r Οὐκ ὀ|λίγοις δὲ χρόνοις τῷ θείῳ προσεδρεύσας τάφῳ κἀκεῖθεν τὴν τοῦ θείου πνεύματος ἀρυσάμενος δύναμιν, ἐπὶ τὰ καταγώγια τῶν ἱερῶν ἀνδρῶν μετελήλυθεν κἂν τούτοις πᾶσαν πρακτικὴν ἀρετὴν ἐξησκήσατο.

---

176 χωρεῖ : χωρείαν Δ_2 ed. 177-178 διασώσειεν corr. nos : διασώσει $\Delta_1\Delta_2$ ed.
178 εἴσω nos : ἴσω $\Delta_1\Delta_2$· ἴσῳ ed. 180-181 Χριστοῦ: χρηστοῦ ed. 181 Μωυσέες : Μωυσέως Δ_2 ed. // τοιοῦτοι : τοιαῦτοι $\Delta_1\Delta_2$ 184 ἢ : ἦ $\Delta_1\Delta_2$ 186 ὑπὲρ αἴσθησιν : ὑπεραίσθησιν $\Delta_1\Delta_2$ 196 τετέλεσθαι $\Delta_1\Delta_2$ 197 συνελέχθησαν ed.
204 προσεδρεύσας : προσεδράσας ed. 206 κἂν ed.

Τούτους δὲ λέγω τοὺς Ναζηραίους καὶ ἀπερρηγμένους τοῦ βίου καὶ μόνῳ Θεῷ προσανέχοντας, οἳ πάντα τὰ ἑαυτῶν ἀπορρίψαντες ἢ μᾶλλον καὶ ἑαυτοὺς ἀρνησάμενοι καὶ τὸν οἰκεῖον σταυρὸν ἀράμενοι καὶ τοῦτον ὥσπερ ἱστίον στησάμενοι καὶ τὰς πρὸς τὸ θεῖον ἐλπίδας ἀναπετάσαντες, κοῦφοι τὸ τοῦ βίου πέλαγος διαπλέουσι, λιμένας ἐκείνους τοὺς σωτηριώδεις ἀπεκδεχόμενοι. Τούτοις οὖν, ὡς ἐξόν, ἐφ' ἱκανὸν συγγενόμενος, πρὸς τὰς πρακτικὰς τῶν ἀρετῶν ἀνδρικῶς ἠγωνίσατο, ὡς ἐν παγκρατίῳ ἀθλήσας καὶ τῷ παγκοσμίῳ σταδίῳ τὴν τῆς ψυχῆς ἀναδείξας δύναμιν. Προσευχαῖς γὰρ ἀδιαλείπτοις προσεῖχε καὶ νηστείαις ἑαυτὸν ἐκάθαιρε, χαμευ- 44v νίαις τε τὸ ἐκείνου σκῆνος ἐπίεζε καὶ φιλοσο|φίαν ἤσκει τὴν σῴζουσαν. Ἐκ τούτων δὲ τί γίνεται καὶ τί κατορθοῦται; Λεπτύνεται ἅπαν σώματος κρᾶμα καὶ οὐκέτι κρατεῖ τὰ τῆς φύσεως, ἀλλὰ τὰ κρείττω καὶ ὑπὲρ ταῦτα τῶν χειρόνων τε καὶ ὑποδεεστέρων ὑπερτερεῖ· κἀκεῖσε φέρεται ταῦτα, ὅπῃ ἂν τὸ ἡγεμονεῦον ἐφείλκυσε.

Τοῖς τοιούτοις γοῦν ἑαυτὸν ὁ μακάριος καθηράμενος, καὶ τὰ μὲν παρὰ τῶν ἱερῶν ἐκείνων ἀνδρῶν ἐκμαθών, τὰ δὲ διδάξας καὶ παρ' ἑκατέρων ἑαυτὸν θαυμαστώσας, θᾶττον εἰς θεωρίας ὕψος ἀνέρχεται· θεωρίαν δὲ λέγω τὴν ὑψηλὴν καὶ μετέωρον καὶ ἐφαπτομένην τοῦ κρείττονος, ἣ καὶ οἶδε θεωρεῖν τε καὶ ἐπίστασθαι καὶ ἀμέσως νοεῖν καὶ οὐ διά τινων συλλογίζεσθαι. Διττὰς γὰρ θεωρίας οἶδεν ὁ λόγος· τὴν μὲν στοιχειώδη τε καὶ εἰσαγωγὸν καὶ πρὸς τὴν πρᾶξιν διδάσκαλον, τὴν δὲ μετὰ τὴν πρᾶξιν καὶ τοὺς ἐκεῖθεν πόνους καὶ τὰ παλαίσματα. Τοιοῦτος οὖν ἐν θεωρίᾳ ἀναφανεὶς καὶ οὕτως τὴν ἐκεῖθεν αἴγλην τοῦ πνεύματος ὡς ἐν πυρίνῳ γλώσσῃ δεξάμε- 45r νος, πλήρη τε τὴν ἑαυτοῦ ναῦν τῶν πνευματικῶν | χαρίτων ἐγκαταστήσας, συναρίθμιος τοῖς πρώτοις ἐκείνοις τοῦ Κυρίου μαθηταῖς ἀναδέδεικται καὶ τρισκαιδέκατος οἷον ἐν τούτοις λελόγισται. Ὡς γὰρ τοῖς ἔργοις ἐπέδειξεν, ἐπὶ τὸ κήρυγμα τὸ σεβάσμιον κατ' ἴσον τούτοις κεκίνηται.

Τῆς γοῦν Παλαιστίνης ἀπάρας, περὶ τὴν Ῥώμην ἐπιφοιτᾷ Πέτρου καὶ Παύλου τῶν ἀποστόλων κατ' ἴχνια βαίνων, ἵνα καθομηρίσωμεν τὸν γενναῖον τοῦτον τῆς ἀληθείας ἀγωνιστήν, ὅπου ἄπειρα πλήθη τῶν εἰδωλομανούντων καὶ τὰ ὑπερμαχοῦντα τούτοις ἀχαλίνωτα στόματα, λό-

---

207 ἀπερρηγμένους nos : ἀπερηγμένους Δ_1· ἀπηρηγμένους Δ_2· ἀπειργμένους ed.
208 οἳ : οἷ Δ_1 212 ἐφ' ἱκανὸν : ἐφικανὸν $\Delta_1\Delta_2$
223 θάττων $\Delta_1\Delta_2$ 227 εἰσαγωγόν : ἐπαγωγὸν ed. 231 τὴν corr. nos : τῶν $\Delta_1\Delta_2$· τὸν ed. // ναῦν : νοῦν ed. // ἐγκαταστήσας : ἐγκατασταθεὶς ed.
234 κατ' ἴσον nos : κατῖσον $\Delta_1\Delta_2$· κατίσον ed.
236 κατ' ἴχνια nos : κατίχνια $\Delta_1\Delta_2$· κατ' ἰχνία ed.

---

236 Hom. Od. β, 406

*γοις κιβδήλοις καὶ πιθανοῖς τὴν βδελυρὰν ταύτην συνηγορούντων πλάνην
καὶ δεισιδαίμονα. Ἐν τούτοις γοῦν ἀφικνεῖται καὶ τὸ τοῦ Χριστοῦ διακη-
ρυκεύει μυστήριον, τοὺς λόγους ἔχων πιστουμένους τοῖς θαύμασι καὶ τῶν
θαυμάτων τῷ πλήθει τὸ δίδαγμα κρατυνόμενον καὶ τῶν δογμάτων τῷ
ἀληθεῖ ὡς ἐκ Θεοῦ τὰ θαύματα βεβαιούμενα. Τὸν χῶρον οὖν εὑρηκὼς*
45v *εἰδώλων πλήρη καὶ σεβασμάτων θεοστυγῶν, ὁπόσων αὐτῷ / καὶ τῶν πό-
νων ἐδέησε καὶ ὅσων τῶν καμάτων εἰς τὸ κατόρθωμα. Πολλὰ γοῦν τοῖς
πνευματικοῖς ἐνιδρώσας ἐνταῦθα πόνοις καὶ ὡς ἄλλος Ἰακὼβ ἐπὶ κτήσει
τῶν δύο γυναικῶν καὶ τῶν θρεμμάτων κακοπαθήσας, ἅστινας δὴ τὰς γυ-
ναῖκας καὶ ἅτινα ὑποληπτέον τὰ θρέμματα, τὴν θείαν πεφάντασται κλί-
μακα ἐκ γῆς ἐστηριγμένην πρὸς οὐρανοὺς καὶ τοὺς ἀναβαίνοντας καὶ δι'
αὐτῆς καὶ καταβαίνοντας ἀγγέλους τεθέαται, δυνάμεις, ὡς ἂν τις εἴποι,
τῶν ἡμετέρων ἀναγωγοὺς καὶ προνοουμένας τῶν ἐφ' ἡμῖν.*

*Ἐπεὶ δὲ τὰ κατὰ τὴν Ῥώμην καλῶς εἶχεν αὐτῷ καὶ κατὰ θείαν
συντετελεσμένα τὴν βούλησιν, ἄρτι μὲν οὖν τοῦ Μεγάλου Κωνσταντίνου
τῶν ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου, ὃς πρῶτος ἐν βασιλεῦσι τὸ κατὰ
Χριστὸν ἐμυήθη μυστήριον, καὶ ἅμα τῷ θείῳ βαπτίσματι σῶμα καὶ ψυχὴν
κεκάθαρταί τε καὶ καθηγίασται, καὶ τοῦ ἡμετέρου κηρύγματος ἤδη παρ-*
46r *ρησίαν λαβόντος, καὶ τὸν καιρὸν εὑρὼν ὁ θαυμάσιος / τοῖς βουλεύμασι τού-
του συμπράττοντα καὶ οἷον τῶν ἔργων συλλαμβανόμενον, ἀπανίσταται
μὲν τῆς Ῥώμης, πολλοὺς ἐν ἐκείνῃ φωτίσας τῇ δυνάμει τοῦ πνεύματος· περὶ
δὲ τὰ τῶν Θετταλῶν ὅρια μετὰ τοῦ αὐτοῦ καὶ αὖθις ἐπεχωρίασε πνεύμα-
τος. Ὥσπερ γάρ τις ὀλυμπιονίκης ἢ πυθιονίκης ἀναδειχθείς, εἰς μέσους
Ἕλληνας περιελήλυθεν, οὐχ ἵνα κοτίνῳ ἐλαίας ἢ σελίνων στεφανωθῇ,
ἀλλ' ἵνα πολλοὺς πρὸς τὴν εὐσέβειαν ἐφελκύσειε καὶ στεφανίτας ἀναγο-
ρεύσειε, Παῦλον τὸν μέγαν μιμούμενος καὶ πάντα διατρέχοντα τὰ πέρα-
τα τῷ κηρύγματι. Ἐκ Παλαιστίνης μὲν ἀρξάμενος, ὅθεν ἡμῖν ἡ τῆς σω-
τηρίας ἀρχή, κἀκεῖθεν εἰς Ῥώμην, ταὐτὸν δὲ εἰπεῖν εἰς πᾶσαν Εὐρώπην,
κἀκεῖθεν εἰς Θετταλίαν, ὡς ἂν τις εὐστόχως εἴποι τὸ πανελλήνιον, ὅπου
οἱ συνηγοροῦντες τοῖς εἰδώλοις σοφοί, ὅπου τὰ κατὰ τῆς ἡμετέρας εὐσε-
βείας κομψεύματα καὶ ληρήματα. Μόνος γοῦν ἐν τοσούτοις ἀντεπαλαμή-*

240 *ἐν τούτοις* : *εἰς τούτους* ed. 243 *ἀληθεῖ* : *πλήθει* ed. 247 *δὴ* : *δεῖ* ed.
248 *ὑποληπτέων* $\Delta_1\Delta_2$ 249-250 *καὶ δι' αὐτῆς καὶ καταβαίνοντας ἀγγέλους τεθέαται*: *ἀγγέλους τεθέαται καὶ δι' αὐτῆς καταβαίνοντας* Δ_2 ed. 250 *εἴπη* $\Delta_1\Delta_2$
257 *λαβόντος* : *λαμβάνοντος* Δ_2 ed. 258 *ἀπανίσταται* : *ἐπανίσταται* Δ_2 ed.
260 *ὅρια* : *ὅρα* $\Delta_1\Delta_2$ 263-264 *ἐφελκύσῃ* ... *ἀναγορεύσῃ* ed. 267 *εἴπη* $\Delta_1\Delta_2$ M
268 *συνηγοροῦντες* : *συνογοροῦντες* $\Delta_1\Delta_2$ 269 *κοψεύματα* M

248-250 Ge. 28, 12

σατο πλήθεσι καὶ μόνος ἐν τούτοις κατετροπώσατο, Θεὸν αὐχῶν τῆς
46v *ἐργασίας / συλλήπτορα, ὑπὲρ οὗ καὶ δι' ὃν ὁ πόλεμος.*

*Ἐπεὶ γὰρ τῇ Θετταλῶν παραγένοιτο, τί μὲν οὐ λέγει τῶν ὅσα πρὸς
ἀλήθειαν φέρει, τί δὲ οὐ πράττει τῶν ὅσα πρὸς σωτηρίαν καθοδηγεῖ;
Διὰ τούτου καὶ γὰρ ἐπικλήσει Χριστοῦ δαίμονες ἀπηλαύνοντο, λεπροὶ
ἐκαθαίροντο, τυφλοὶ ὠμματοῦντο καὶ περιεπάτουν χωλοὶ καὶ πάντα τῶν
νοσημάτων ἐθεραπεύοντο. Ὅτι μηδέ, μὴ ὀνομάτων κλήσεις, μηδὲ νοση-
μάτων ἔν τισιν εἴδη, μὴ τόπους, μὴ χρόνους οἱ τὰ ἐκείνου ἐξιστορήσαντες
συνεγράψαντο, θαυμαζέτω μηδείς. Εἰ μὲν γὰρ δύο ἢ τρία ἢ καὶ πλείω
τῶν θαυμάτων κατωρθωκότες, πρὸς μέτρον δὲ συναγόμενα, τάχ' ἂν σχοῖεν
καὶ κλήσεις ἀνθρώπων καὶ τόπους καὶ χρόνους ἀπαριθμήσασθαι. Ὅπου
δὲ τὰ τῶν θαυμάτων τὸν ἀριθμὸν ὑπερβάλλουσι καὶ οὐκ ἄν τις ἔχοι ταῦτα
μέτρῳ περιλαβεῖν, ἐνταῦθα τὰ τοιαῦτα καὶ ἀπηγόρευται. Καὶ τὸ μὴ κατ'
εἶδος ἀπαριθμεῖν τῶν θαυμάτων ἐπισημαίνει τὴν ἀπειρίαν τε καὶ τὸ μέ-
γεθος.*

47r *Ἀλλὰ τί μὴ μεγαλοπρεπέστερον τὰ τοῦ μάκαρος διηγούμεθα, τί δὲ
μὴ διαφανεστέροις τοῖς χρώμασι τὰς αὐτοῦ εἰκόνας διαμορφοῦμεν τῶν
ἀρετῶν; Τίς μὲν γὰρ τῶν ἐκείνου λόγων ἄμοιρος γένοιτο, τίς δὲ τῶν
θαυμάτων οὐ παραπήλαυσε; Τοὺς μὲν γὰρ λόγων πειθανάγκαις εἰσῆγεν
πρὸς τὴν εὐσέβειαν, τοὺς δὲ χάρισι θαυμάτων ἐφεῖλκε πρὸς τὴν τοῦ μυ-
στηρίου κατάληψιν. Τοὺς μὲν γὰρ διδασκαλικοὺς τῶν λόγων καὶ τῶν δο-
γμάτων καθηγουμένους τοῖς θαύμασι τοῦ πνεύματος ὑπερέβαλε, τοὺς δὲ
διὰ ταῦτα ἢ διὰ τούτων σεμνυνομένους λόγοις ἀκριβεστέροις παρήνεγκεν·
ἢ μάλιστα μὲν διδασκαλίᾳ τοὺς διὰ ταῦτα δεινούς, θαύμασι δὲ τοὺς ἐν
τούτοις περιβοήτους τῇ τοῦ Χριστοῦ δυνάμει καὶ πέφθακε καὶ παρέδρα-
μεν. Ἐντεῦθεν καταλέλυνται μὲν οἱ τῶν δαιμόνων βωμοί, ἀνθίστανται δὲ
ναοὶ τιμήεντες καὶ σεβάσμιοι εἰς δόξαν καὶ αἶνον Πατρὸς καὶ Υἱοῦ καὶ
Ἁγίου Πνεύματος, τῆς ὑπερουσίου καὶ ὁμοδυνάμου Τριάδος.*

47v *Ἀλλὰ ταῦτα μὲν οὐκ ἄνευ πόνων, οὐδ' ἄνευ ἱδρώτων εἰργάσατο,
ἀλλὰ πειρασμοῖς ἀπείροις βαλλόμενος καὶ κόποις ταλαιπωρῶν καὶ κιν-
δύνοις οὐ μετρίοις ἐξεταζόμενος καὶ τοῖς καθ' ἡμέραν ὑπεναντίοις ζυγο-*

270 *ἐν* om. $\Delta_1\Delta_2$ ed.
272 *παρεγένετο* ed. 274 *ἀπηλαύνοντο* : *ἀπηλαύντο* Δ_2· *ἀπηλαύνειντο* M
275 *πάντων* Δ_2 M ed. 277 *οἱ τὰ ἐκείνου ἐξιστορήσαντες* : *ἐξιστορήσαντες ὧ τὰ ἐκεί-νου* M 278 *πλείω* : *πλείωνα* Δ_2· *πλείων* M· *πλείονα* ed. 281 *ἔχει* $\Delta_1\Delta_2$M
282 *ἀπηγόρευται* : *ἀπογορεύεται* M 286 *τὰς* : *τοῖς* M 287 *ἐκείνων* M
289 *ἀφεῖλκε* M 289-290 *μυστηρίου* : *αὐστηρίου* M 291 *ὑπερέβαλλε* $\Delta_1\Delta_2$ ed.· *ὑπερήβαλλε* M 292 *ἢ* : *ἦ* M // *σεμνηνομενοὺς* M· *σεμνυνωμένους* ed. 293 *διδα-σκαλία* $\Delta_1\Delta_2$· *διδασκάλια* M // *ταῦτα* : *ταῦθα* M 294 *παρέδραμε* codd. ed.
295 *δὲ* : *μὲν* M 300 *ἐξηταζόμενος* M

μαχῶν, τῶν μὲν κρύφα δακνόντων, τῶν δὲ καὶ ἀναίδην ἐπιπηδώντων. Μῶν οὖν ἠγώνισται μὲν οὗτος, οὐκ εἰς ἐνιαυτοὺς δὲ ἢ εἰς ἐνιαυτοὺς μέν, οὐκ ἀόκνως δὲ ἢ ἀόκνως μέν, οὐκ ἀνδρικῶς δὲ καὶ γενναίως καὶ ἀπαραμίλλως πρὸς τοὺς πολλούς; Ἢ ταῦτα μὲν εἴργασται κατὰ τὸ προσῆκον, ἀπολέλειπται δέ τι τῶν κατὰ Χριστὸν δογμάτων καὶ ἐνταλμάτων, ὧν μὴ κατ' ἀκρίβειαν ἐξετέλεσεν; Οὐμενοῦν· ἀλλ' ὀρθότατα τὰ πράγματα διελόμενος καὶ τὰς ἑκάστων ποιότητας ἐπιγνούς, τύχας τε καὶ ἡλικίας καὶ ἐπιτηδευμάτων διαφορὰς μερισάμενος, εἰς ὀρθοδοξίαν τε τοὺς ἅπαντας συνηγάγετο καὶ πρὸς ἐργασίαν ἀρετῆς συνηθροίσατο καὶ πρὸς συμφωνίαν ἡρμόσατο ὡς μέλος ᾄδειν τὸ παναρμόνιον, εἰς ὕμνον καὶ αἶνον τοῦ ὑπὲρ 48r *ἡμῶν / τὸ καθ' ἡμᾶς, πλὴν ἁμαρτίας προσειληφότος Θεοῦ.*

Τοῖς τῶν ἁπάντων οὖν στόμασι περιεκροτεῖτο Ἀχίλλιος καὶ Χριστὸς ἐδοξάζετο. Τί γὰρ ἦν πλὴν Ἀχιλλίου θέαμα σεμνότερόν τε καὶ ποθεινότερον; Μειλίχιος γὰρ ἦν τὴν ὁμιλίαν ὁ ἅγιος, πρᾶος τὸν τρόπον, χρηστὸς τὸ ἦθος, τὸ εἶδος ἀγγελικός, τὸ σχῆμα κόσμιος, τὴν συντυχίαν εὐέντευκτος, ὡς τοῖς ἰδοῦσι καὶ λόγων πεῖραν λαβοῦσι μὴ ἂν ἐθέλειν τούτου ἀφίστασθαι. Πάντων γὰρ ἀόκνως ἐκήδετο ὡς πατὴρ τέκνων, ὡς ποιμὴν προβάτων, ὡς προστάτης προνοουμένων καὶ ὡς ἀληθὴς μαθητευομένων διδάσκαλος· καὶ ταῦτ' ἐποίει, ὡς ἂν τοὺς πάντας ἢ τοὺς πλείους κερδήσειε. Κἀντεῦθεν ὁπόσαι πληθὺς [sic] *τῇ ἐκκλησίᾳ Χριστοῦ συνήγοντο, ὁπόσαι τάξεις εἰς κατάρτισιν τῆς νέας χάριτος κατευθύνοντο.*

Ἐπεὶ δὲ οὐκ ἔδει ἐπὶ πολὺ τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι, ἀλλ' ἐπὶ τὴν λυχνίαν τεθῆναι ὡς φανότερον ἐπιλάμψειε, κἂν ὅτι μᾶλλον τοῖς πλείοσιν ἐπεφαίνετό τε καὶ ὑπερέλαμπε, μηδὲ τὸν φωσφόρον ἀεὶ 48v */ὑπὸ τὸ ὑποκάτω καλύπτεσθαι ἡμισφαίριον καὶ ἀμυδροτέρας τὰς ἀκτῖνας ἐκπέμπειν, ἀλλὰ καὶ περὶ τὴν μεγάλην καὶ φαινομένην τῆς ἀρχιερωσύνης ἀναχθῆναι περιωπήν, ὡς ἂν πᾶσαν καταφωτίσειε τὴν ὑφήλιον, τί γίνεται; Καὶ πῶς ἐκεῖνον ἡ τοῦ Χριστοῦ ἐκκλησία ἀρχιερέα λαμβάνει καὶ διδάσκαλον προχειρίζεται, τὸν ἐξ ἁπαλῶν ὀνύχων τὸ τοῦ Χριστοῦ διδάσκοντα εὐαγγέλιον, τὸν καὶ πρὸ τοῦ ἀρχιερατικοῦ θρόνου ἀρχιερέα τῶν πιστῶν καὶ ὄντα καὶ παρὰ πᾶσιν ὀνομαζόμενον;*

---

301 *ἀνέδην* Δ_2 ed.· *ἀναίδων* M // *ἐπιπηδόντων* $\Delta_1\Delta_2$ ed. // *μῶν* : *ἡμῶν* ed.
302 *ἢ* : *ἡ* M 303-304 *ἀπαραμέλλως* M 304 *ἢ* nos : *ἡ* $\Delta_1\Delta_2$M· *ἡ* ed.
306 *ἐξετέλευσεν* M 308 *τοὺς* : *καὶ* ed.
314 *ἦν* : *ἣν* $\Delta_1\Delta_2$· *ἣν* M 315-316 *εὐέντευκτος* corr. nos : *εὐέστευκτος* $\Delta_1\Delta_2$· *εὐτέκτος* M· *εὐέστακτος* ed. 316 *ὣς* M 317 *ἐκήδετο* : *ἐνήδετο* M // *ὣς* M
318 *ὣς* M 319 *ταῦτ'* : *ταῦτα* Δ_2 ed. // *ἢ* : *ἡ* M // *πλείους* : *πλείονας* Δ_2 ed.
322 *τὸν μόδιον*: *τὸ μόδιον* M 323 *ὅ,τι* ed. 324 *ἐπεφαίνετό τε* : *ἐπεφαίετό τε* Δ_1 ed.· *ἐπεφαίε τότε* Δ_2 325 *ἡμισφερίον* M 330 *τοῦ ἀρχιερατικοῦ θρόνου* corr. nos : *τῶν ἀρχιερατικὸν θρόνον* codd.· *τὸν ... θρόνον* ed.

Χηρεύει μὲν οὖν ἡ Λαρισαίων πόλις τοῦ προστατεύοντος, οἱ πάντων δὲ ὀφθαλμοὶ πρὸς Ἀχίλλιον βλέπουσι. Πρὸς τίνα γὰρ καὶ ἄλλον εἶχον ἰδεῖν, εἰ μὴ πρὸς τὸν πρᾶον, ὥς φασι τὰ ἱερὰ λόγια, καὶ τρέμοντά μου τοὺς λόγους; Καὶ ἡ ψῆφος τῶν ἐπαρχιωτῶν ἀρχιερέων ὁμόλογος καὶ τὰ πλήθη τούτοις συνᾴδοντα καὶ ἡ χάρις ἐπισφραγίζει τὰ συντεθειμένα τοῦ πνεύματος· τό⟨τε⟩ τοι καὶ κανονικῶς καὶ ὡς ἱερὸς ἐπιτάσσει θεσμός, εἰς τὸν τῆς Λαρίσης θρόνον ἀνάγεται. Οἶδε γὰρ ἀκολουθεῖν τῷ Θεῷ ὡς Ἀα- 49r *ρών τε καὶ Ἠσαΐας καὶ προθύμως / ἐφέπεσθαι, ἐπεὶ καὶ ἐκ Θεοῦ τὰ τοιαῦτα καὶ διὰ Θεὸν καὶ σὺν Θεῷ καταρτίζονται.*

Λαμβάνει μὲν οὖν, ὡς ἔφην, οὗτος τὴν τῶν Λαρισαίων μητρόπολιν, εἰ δὲ χρὴ τἀληθέστερον εἰπεῖν, τὴν παγκόσμιον πνευματικὴν ἀρχὴν ἀναζώννυται. Καὶ ἵσταται μὲν ἐφ' ὑψηλοῦ τῆς ἀρχιερατικῆς αὐτοῦ φυλακῆς καὶ περισκοπεῖ τὴν κοσμικὴν τετραμέρειαν. Καὶ τὸ μὲν τῆς διδασκαλίας φθέγμα συντονώτερον ἀπεργάζεται, ὡς πάντας ἔχειν τῶν διδαγμάτων αὐτοῦ ἐπαΐοντας καὶ τῆς πνευματικῆς ξυνιέντας δυνάμεως· τὸν νοῦν δὲ ἀνατείνει πρὸς τὸν Θεόν, ὡς ἂν ἐκεῖθεν πλεῖον ἐπιφοιτήσει⟨εν⟩ ἐν τούτῳ καὶ τῶν διδαγμάτων καὶ τῶν θαυμάτων ἡ δύναμις.

Ἀμέλει τοι καὶ ὁ τοῦτον ἀφορίσας ἐκ μήτρας εἰς τὸ αὐτοῦ εὐαγγέλιον καὶ δι' ἁλιέων καὶ σκηνορράφων τὴν οἰκουμένην περιλαβών, καὶ τούτου τὴν γλῶτταν ἐστόμωσε καὶ τρανότερον ἀπέδειξε καὶ τοῖς μείζοσι τῶν θαυμάτων ἐδόξασέ τε καὶ κατελάμπρυνε καὶ πρὸς τὴν τοῦ ἀμπελῶνος ἐρ- 49v *γασίαν ἀνέδειξε προθυμότερον. Τίς γὰρ ἦν τὸ ἀπὸ / τοῦδε, τόπῳ τινὶ ἢ πόλει περιγραφόμενος, ὃς τὸν μέγαν Ἀχίλλιον οὐκ ἐγίνωσκεν, ἢ τίς οὐκ εἰς τοῦτον συνέτρεχεν; Εἰς πᾶσαν καὶ γὰρ τὴν γῆν ὁ φθόγγος ἐξεχύθη τῶν λόγων αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν θαυμάτων ἡ δύναμις. Οἱ μὲν οὖν εὐχῆς χάριν εἰς τοῦτο⟨ν⟩ ἀφίκοντο, οἱ δὲ διδασκαλίας ἢ παρακλήσεως· ἄλλοι πνευματικῆς δεξιώσεως καὶ θαυμάτων ἕνεκεν ἕτεροι. Κἀκεῖνος τοῖς πᾶσιν ἐπιχορηγεῖ τὰ συνοίσοντα, τὸν μὲν διδασκαλίᾳ βελτιῶν πρὸς πίστιν Χριστοῦ ἢ καὶ πρὸς πρᾶξιν τὴν κρείττονα, τὸν δὲ ἐπιτυχεῖ⟨ν⟩*

---

334 *ὡς* : *ὃς* codd. 335 *ὁμόλογης* M 336 *συνᾴδοντα* : *συνάγοντα* M 337 *τότε* corr. nos : *τῶ* codd.· *τῷ* ed. 338 *εἰκολουθεῖν* M 339 *ἐπεὶ* : *ἐπὶ* M 344 *περισκοπεῖ*: *περικοπὴν* M 345 *ἔχει* Δ_2 347 *πλείω* M // *ἐπιφοιτήσειεν* corr. nos : *ἐπιφοιτήσει* codd. ed. 353 *ἦν* : *ἣν* codd. // *ἢ* : *ἡ* M
357 *τοῦτον* : *τοῦτο* codd. 358 *ἕνεκεν* : *ἓν μεν* M
359 *συνοίσονται* M // *διδασκαλία* Δ_1M· *διδασκαλίαν* Δ_2 360 *ἢ καὶ* : *τὸν δὲ ἧκε* ed. // *ἐπιτυχεῖν* : *ἐπὶτυχεῖ* Δ_2M· *ἐπὶτυχεὶ* Δ_2

333-335 Is. 66, 2
355-356 Ps. 18 (19), 5 — Ro. 10, 18

τῷ θαύματι ποιεῖ τοῦ σκοποῦ. Καὶ οὐδεὶς ἦν ὃς οὐ κατακορὴς τῶν καλῶν ἐτύγχανε τούτου. Πειθοῖ γὰρ λόγων καὶ θαυμάτων εὐεργεσίαις ξύμπαντας ἐζώγρει καὶ τῇ μάνδρᾳ Χριστοῦ ἐνεσήκαζεν ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων τιθείς, ὧν Χριστῷ ἐπεκτήσατο· ὁ τὸ πεπλανημένον ἐπιστρέφων καὶ τῇ τούτου ἐπιχαίρων ἐπιστροφῇ καὶ ἀλλοιώσει τῇ πρὸς τὸ βέλτιον, ὁ τὴν ποιμαντικὴν θαυμαστὸς καὶ τὴν ἀγρευτικὴν 50r *θαυμαστότερος· ὁ μέγας ἀρχιερεὺς / τῆς ἐκκλησίας Χριστοῦ, ὥστε μοι καὶ τὸ τοῦ ἀποστόλου διὰ τοῦτον οὐκ ἀποκνητέον ἐρεῖν, ὃ διὰ τὸν ἐμὸν ἐφθέγξατο Ἰησοῦν, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, τῶν ἁμαρτωλῶν ἀφωρισμένος καὶ τῶν πολλῶν ὑπερανῳκισμένος ἐξ ἀρετῆς. Οὐκ ἀπεικότως οὖν καὶ ὁ λόγος προφθάσας Ἰακὼβ αὐτὸν κατωνόμασε καὶ τὴν θείαν αὐτῷ ὑπενέφηνε κλίμακα, τοσούτων καθηγησαμένῳ θρεμμάτων καὶ πλείω τῶν ἀσήμων ἀποκερδάναντι τὰ ἐπίσημα.*

Εἶχε μὲν οὖν οὕτω ταῦτα· καὶ ἡ τοῦ Χριστοῦ ἐκκλησία ὡς ἐν γαλήνῃ ἐκυβερνᾶτο καὶ οἱ τοὺς οἴακας αὐτῆς ἐγκεχειρισμένοι, τῇ εἰρηναίᾳ καταστάσει, ἐπεσκίρτων τῷ πνεύματι. Καὶ ἦν ἐν τοῖς πάντων λόγοις Ἀχίλλιος καὶ ἡ φήμη τούτου πάντας κατεῖχε· καὶ ἐξ ὤτων ἐφεῖλκεν εἰς ἀπάντησιν· καὶ οὐδεὶς ἦν ὅστις, ἀκηκοὼς ἢ καὶ ἑωρακώς, οὐ διὰ θαύματος ἦγεν Ἀχίλλιον † ἦν εἰρηκώς †, ἢ βρύσιν θαυμάτων ἔλεγε καὶ διδασκαλίας πη- 50v *γὴν καὶ πέλαγος χαρίτων ἀνεξάντλητον τῶν τοῦ πνεύματος. / Ἀλλ' οὐκ ἠδύνατο ταῦτα ὁρᾶν ὁ ἀρχῆθεν τοῖς καλοῖς βασκαίνων διάβολος· οὐδὲ τὴν ἐκκλησιαστικὴν νηνεμίαν διέφερεν, ἀλλ' ἐγείρει πνεῦμα κατὰ ταύτης τραχύ, τετριγὸς ὁμοῦ καὶ ὀλέθριον καὶ πάντα τὸν γεγενημένον κόσμον Χριστοῦ ἐπαπειλοῦν διαλύεσθαι.*

Ἐξάλλεται γὰρ ὁ αἰγυπτιακὸς θήρ, ὁ ἀραβιακὸς λύκος, ὁ τῶν ζιζανίων σπορεὺς καὶ τοῦ πονηροῦ πρόδρομος, ὁ τοῦ φιλοπολέμου, φημί, δαίμονος καὶ μανιώδους ἐπώνυμος. Οὗτος Ἀλεξανδρεῦσι μὲν οἷά τις αἰγυπτιακὴ πληγὴ ἐπαφίεται κἀκεῖσε πρῶτον τῆς θεομάχου γλώσσης ἀπάρ-

361 *ἦν* Δ_2M // *κατὰκορῆς* codd. 363 *ἐζώγρει* : *ἐξώγρει* codd. // *ἐνεσήκαζεν* : *ἐνεισοίκιζεν* ed. 365 *ἀλλοιώσει* : *ἀλλώσει* M 368 *ἀποστόλου* om. M
369 *Ἰ(ησοῦ)ν* : *ἱεράρχην* ed.
372 *καθηγησαμένων* codd. 375-376 *αὐτῆς ἐγκεχειρισμένοι, τῇ εἰρηναίᾳ* om. Δ_2 ed. // *καταστάσεις* M 376 *ἐπεσκίρτων* nos: *ἐπεσκίρτουν* codd. ed. // *ἦν* Δ_1
377 *ἐξ ὤτων* : *ἐξώτων* $\Delta_1\Delta_2$· *ἐξὼ τῶν* M 378 *διὰ θαύματος* : *διαθαύμαστος* M // *ἦγεν*: *εἶχεν* M 379 *Ἀχίλλιος* Δ_2 ed.· *Ἀχιλλίου* M // *ἢ* : *ἣ* M 383 *τετριγὸς* : *τετρυγὸς* codd. 385 *ἀρραβικὸς* M· *ἀραβικὸς* ed. // *τῶν* : *τοῦ* M 386 *προδρόμου* Δ_2 ed.
388 *γλώττης* ed.

369-370 Hebr. 7, 26
371-372 Ge. 28, 12

χεται. Ἔδει γὰρ τὴν ἐνεγκαμένην πρὸ τῶν ἄλλων ἐν τοῖς αἰσχίστοις ποιῆσαι κατάδηλον. Ἀποκρουσθεὶς δ' ἐκεῖθεν καθάπερ τι βέλος ἢ μηχάνημα προσπεσόν, στερροτέρῳ τῷ προβεβλημένῳ τῆς κατ' Αἴγυπτον ἐντυχὼν ἐκκλησίας, — Ἀλέξανδρος οὗτος ἦν,— ἐπὶ τὰ τῆς Συρίας καὶ Παλαιστίνης, Κιλικίας τε καὶ Καππαδοκίας μέρη προέρχεται. Οὐχ ἵσταται 51r *δὲ μέχρι τούτων, / ἀλλὰ καὶ αὐτῆς ἐπιβαίνει Χαλκηδόνος, ὅρος γὰρ ἦν αὐτῷ τῆς θεομαχίας οὐδείς, καὶ τὴν ἄχρι τότε λαμπρὰν ἐπ' εὐσεβείᾳ ληΐζεται Νικομήδειαν, καὶ τῆς Βασιλευούσης αὐτῆς, ὢ τῆς ἀνοχῆς σου Χριστέ, ἔγγιστα γίνεται. Ὑποσύρεται δὲ καὶ κατασπᾷ τοῦ λαοῦ μέρος οὐχ ἁπλῶς εἰς τὸν ἑαυτοῦ βόθρον τῆς ἀσεβείας, ἀλλὰ καὶ αὐτῶν δὴ τῶν ἀρχιερέων τῆς ἄνω ζωῆς ὅσον ἀνάξιον καὶ ἀντὶ ποιμένων λύκους βαρεῖς ἀπεργάζεται. Θεόγνιδες οὗτοι, Εὐσέβιοι καὶ Ἀέτιοι καὶ ὁ λοιπὸς τῶν θεομάχων κατάλογος. Κατὰ γὰρ τὸν θεῖον Δαβίδ, ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς, ἀδικίαν εἰς τὸ ὕψος λαλῶν καὶ τὴν ὑπὲρ πάντα νοῦν καὶ λόγον ὑπερούσιον θείαν οὐσίαν οὐ μόνον ἀποτέμνων καὶ διαιρῶν εἰς ἀνισότητας διαφόρους, ἀλλὰ καὶ κτίσμα τιθεὶς τὴν πάντα τεκτηναμένην τοῦ πατρὸς ἐνυπόστατον σοφίαν καὶ δύναμιν.*

51v *Ταῦτα οὐκ ἦν ἀνεκτὰ οὐδὲ φορητὰ τοῖς τῆς εὐσε/βείας τροφίμοις καὶ ⟨τοῖς⟩ τοῦ Χριστοῦ ἐκκλησίας ἀληθινοῖς ποιμέσι καὶ διδασκάλοις, ἀλλ' οὐδ' αὐτῷ τῷ εὐσεβῶς τηνικαῦτα τὴν βασιλείαν ἰθύνοντι, Κωνσταντῖνος δ' ὁ Μέγας ἦν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν. Γράμμασι τοιγαροῦν ἅπαντας ἐν τῇ Νικαέων προσκαλεῖται ὡς ἂν τὰ περὶ τοῦ καινοφανοῦς τοῦδε Σέξτου καὶ Πύρρωνος, ἢ μᾶλλον εἰπεῖν Ἰούδα προδότου, γνώμῃ κοινῇ διασκέψαιντο. Σὺν τοῖς λοιποῖς γοῦν ἑσπερίοις πατράσι καὶ ὁ μέγας Ἀχίλλιος, προθύμῳ καρδίᾳ καὶ ζέοντι πνεύματι, τῆς Θετταλῶν ἀπαίρει καὶ πρὸς τὴν Νικαέων ἐφίσταται, τῷ λόγῳ κινδυνεύοντι βοηθήσων τῆς ἀληθείας καὶ τὸν νοητὸν ἀπελάσαι λύκον τῇ σφενδόνῃ τοῦ πνεύματος. Τότε δὴ καὶ ὁ μέγας ἐν βασιλεῦσι Κωνσταντῖνος καὶ ὁ λοιπὸς τῶν πατέρων κατάλογος, μεθ' ὅσης ἂν εἴποις αἰδοῦς τε καὶ εὐλαβείας αὐτὸν ὑπεδέξαν-* 52r *το, ἐπεὶ καὶ προκατειλημμένοι ταῖς περὶ αὐτοῦ / φήμαις ὄντες ἐτύγχανον. Καὶ πάντες ἦσαν γλιχόμενοι καὶ αὐταῖς ὄψεσι κατιδεῖν τὸν περὶ οὗ τοσαῦτα καὶ τηλικαῦτα προμεμαθήκεσαν· ἤλπιζον δὲ ἄρα καί τι τῶν θειοτέρων ἔργων παρ' αὐτοῦ θεάσασθαι γεγονός, κήρυκάς τε καὶ αὐτοὺς γε-*

391 *προσπεσὼν* codd. ed. // *αἴγυπτου* M 395 *εὐσεβείαν* M 403 *τὴν* om. M
411 *νικαέ ὧν* M 416 *σφενδόνι* ed. 418 *εἴπῃς* codd.
422 *παρ' αὐτοῦ θεάσασθαι γεγονὸς* om. M

401-402 Ps. 72 (73), 9

νέσθαι τοῖς εἰς μακρὰν καὶ συγγραφεῖς τοῖς μετέπειτα. Ταῦτα τοίνυν περὶ αὐτοῦ λογιζόμενοι καὶ οὕτως ὑπολήψεως ἔχοντες, ἆρ' οὖν ἐψεύσθησαν τῆς ἐλπίδος ἢ διήμαρτον τοῦ σκοποῦ ἢ μείζω τῶν δρωμένων αὐτοῖς ἔδοξεν εἶναι ⟨τὰ⟩ παρὰ τῶν πλειόνων ᾀδόμενα, ἢ ἔλαττόν τινος ὑπὲρ τῆς ἀληθείας ἠγωνίσθαι τῶν ἐκεῖσε συνειλεγμένων ἢ οὐ λίαν ἐπαινετῶς; Οὐμενοῦν· ἀλλὰ καθάπερ ἐν εὐρύθμῳ λύρᾳ καὶ εὐμελεῖ ἢ ἐν σειρᾷ χρυσῇ καὶ τοῖς πολλοῖς ἀπλόκῳ ὁ βίος, ὁ λόγος, ἡ τῶν θαυμάτων ἐνέργεια, οἱ ὑπὲρ εὐσεβείας ἀγῶνες, οὕτω λόγῳ καὶ τάξει τινὶ θειοτέρᾳ τὰ ἐκείνου πάντα προέβη καὶ ἀλλήλων ἐχόμενα.

52ᵛ *'Αλλ' ἧκεν ἡ τῆς προθεσμίας ἡμέρα, καθ' ἣν ἔμελλεν ἡ σύνοδος συγκροτεῖσθαι καὶ οἱ τῆς εὐσεβείας πρόμαχοι μετὰ τῶν ἐναντίων εἰς λόγους ἰέναι· καὶ αὐτὸς δὲ ὁ θειότατος βασιλεὺς τοῖς λογάσι τῶν πατέρων συνεδριάζων ἦν καὶ τῶν λεγομένων παρ' ἑκατέρων ἐπακροώμενος. Παρῆν δὲ καὶ τὸ θεομάχον τῆς ἀρείου λύσσης συνέδριον, πάσῃ δυνάμει τὴν ἀποστασίαν κρατύνειν πειρώμενον καὶ πλῆθος οὐκ εὐαρίθμητον τῆς τε ἡμετέρας αὐλῆς καὶ τῆς θύραθεν, ἑστῶσιν ὡσί, τὸ τοῦ λόγου τῶν λεγομένων ἐπακροώμενοι καὶ ὅποι ποτὲ ἄρα τὸ νῖκος ἐπιγελάσειε καὶ τὸ ἀληθὲς τῆς πίστεως ἐπιρρέψειεν. 'Αλλὰ πῶς ἂν ἀξίως διηγησαίμην τὰ κατ' ἐκεῖνο καιροῦ λαληθέντα τε καὶ πραχθέντα καὶ οἵοις ἀναντιρρήτοις χρησάμενοι λόγοις γραφικῶν ἀποδείξεων ὅ τε θειότατος Σίλβεστρος, τῆς Ῥωμαίων δ' ἐκκλησίας ἦν ἰθύνων τοὺς οἴακας, ὡς καὶ τῆς 'Αντιοχέων Εὐστά-*

53ʳ *θιος, 'Αθανάσιός τε ὁ Μέγας, / ὃς καὶ τὸν τόπον ἐπέχων ἦν τοῦ 'Αλεξανδρείας 'Αλεξάνδρου, ὡς καὶ τοῦ Μητροφάνους 'Αλέξανδρος, τὰ τῆς ἀσεβείας τὸ ἐπ' αὐτοῖς ὅσον καθῄρουν ὑψώματα καὶ τὸν λυμεῶνα τῶν ψυχῶν τῆς Χριστοῦ ἐκκλησίας ἀπήλαυνον.*

Πλείστη οὖν ὅση παρ' ἑκατέροις τότε τῶν λόγων ἅμιλλα γέγονε. Καὶ ἦν ἰδεῖν ἀληθῶς Χριστῷ τὸν Βελίαρ καὶ τῇ ἀληθείᾳ τὸ ψεῦδος παρατατττόμενον, οὐ μετὰ τρόπων καὶ λόγων εὐθύτητος, ὡς οἱ τῆς εὐσεβείας ὑπέρμαχοι· πῶς γάρ; ἀλλὰ μετὰ τῆς συνήθους αὐτῷ σκολιότητος καὶ τεχνικῆς ἐπινοίας καὶ σοφιστικῆς ἐπικρύψεως, ἄνω καὶ κάτω τὸ ὅμοιον στρέ-

423 *τοῖς* : *ὡς* M 424 *ἄρ'* codd. 426 ante *παρὰ* add. nos *τὰ*
427 *ἠγώνισθαι* codd. ed.
428 *εὐμμελεῖ* $\Delta_1\Delta_2$· *ἐμμελεῖ* ed. // *ἢ* : *ἣ* M 433-434 *λόγους ἰέναι* : *λογούς εἶναι* M
434 post *δὲ* add. *πρὸς ἱ ἔναι* M // *ὁ* om. M 437 *κρατῦναι* ed. // *ἐβαρίθμητον* M
438 *ὠσὶ* : *ὀσὶ* M 440 *ἐπιρρέψειεν* : *ἐπιρρίψειεν* ed. // *πῶς ἂν ἀξίως* : *πως ἀνἀξίως* M
440-441 *ἐκείνου* ed. 441 post *ἀναντιρρήτοις* add. *λόγοις* M
444 *ἦν* : *τὴν* M 444-445 *'Αλεξανδρείας 'Αλεξάνδρου* : *ἀλεδρείας ἐξαλεξάνδρου* M
445 *τοῦ* corr. nos : *τὴν* codd. ed. 446 *καθῄρουν* : *καὶ θήρουν* M // *λυμεῶνα* : *λυμένῶν* M 447 *ἀπήλαυνον* : *ἀπήλαυον* M

φων καὶ περιφέρων, ἵν' ὑποσκελίσει⟨ε⟩ τὸ ὁμοούσιον καὶ τὴν ἀποστολικὴν ῥῆσιν ὡς δέλεαρ, τῷ τῆς ἀσεβείας περικειμένην χαλκῷ, προβαλλόμενος, τήν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, λέγουσαν, τῆς οἰκείας κακονοίας εἰς σύστασιν· ἣν καὶ κακῶς ὁ κακὸς ἐννοῶν τε καὶ ἐξηγούμενος ἔφασκεν ὡς ἡ τῆς εἰκόνος ἔννοια τὸ ὅμοιον μᾶλλον οὐ τὸ ὁμοούσιον

53ᵛ *ἡμῖν ὑπαινίττεται. / Εἶτα τὸ ἀπαράλλακτον ἀπαιτούμενος θᾶττον ἢ λόγος τῆς λεοντῆς ὁ ὄνος καὶ τῇ περιβολῇ τῆς μηλωτῆς ὁ λύκος ἠλέγχετο. Πρὸς ὃν οἱ θεόσοφοι πατέρες: «'Αλλ' οὐχ ὑπὸ χρόνον καὶ τεχνητὴ ἡ εἰκών, ὦ βέλτιστε, ἵνα ποῖ μὲν τὸ ἐοικέναι ἔχοι, ποῖ δ' οὔ, ἀλλὰ φυσικὴ καὶ τὴν οὐσιώδη καὶ πατρικὴν ἐν ἰδίᾳ ὑποστάσει μένων υἱὸς διασώζει ταυτότητα· καὶ πλέον ἢ τοῦ 'Αδὰμ ὁ Σὴθ ἔχει τὸ ἀπαράλλακτον. 'Επεὶ πῶς νοητέον τό, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ καὶ τό, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· καὶ τό, τοὺς αἰῶνας ὡς καὶ πάντα τὰ γεγονότα δι' αὐτοῦ παρῆχθαί τε καὶ συνέχεσθαι». Ταῦτ' οὐχ οἱ προὔχοντες ἔλεγον μόνοι, τοῖς ⟨τῆς⟩ ἀσεβείας συνίστορσιν ἀντιπαρατattόμενοι, ἀλλὰ καὶ πάντες οἷς ἡ ἀλήθεια τὸ πρεσβευόμενον ἦν καὶ τὸν ἱερὸν ἐκεῖνον πληροῦντες σύλλογον*

54ʳ *προθύμως, ὡς οἷόν τε ἦν, ὑπὲρ εὐσεβείας ἠνδρίσαντο· / λεγόντων οὖν ἄλλων καὶ θαυμαζόντων ὡς δύναμις, ἐπεὶ καὶ πάντες κινδυνεύοντος τοῦ λόγου γενναιότατα ἠγωνίσαντο καὶ τρόπαιον μέγα καὶ αἰθέριον ἄντικρυς κατὰ τῶν ἀντιμαχομένων ἐστήσαντο καὶ τὰ τῆς πίστεως ἐκράτυναν σαλευόμενα.*

Ἡμεῖς δὲ τὰ τοῦ μάκαρος τούτου διηγητέον καὶ θαυμαστέον ὡς ἔστιν. 'Αλλ' ἐνταῦθά μοι τοῦ λόγου τὸ ἥδιστον καὶ τοῦ διηγήματος τὸ θαυμάσιον καὶ τῶν ἀορίστως ἐκείνῳ γεγενημένων καὶ λελησμένων θαυμάτων τὸ ἀκριβέστατόν μοι τεκμήριον. Ὡς γὰρ σφίσι τὰ τῆς διαλέξεως ἐκεκίνηντο καὶ οἱ τοῖς εὐσεβέσιν ἀντιμαχόμενοι τοῖς τεχνικοῖς καὶ κιβδήλοις τῶν λόγων, οὓς καὶ διαλεκτικούς φασιν οἱ περὶ ταῦτα δεινοί, τοὺς ἀγωνιστὰς τῆς ἀληθείας καὶ ἡμετέρους ἔβαλλον, κἀκεῖθεν οὗτοι πάλιν

453 *ὑποσκελίσειε* nos : *ὑποσκελλίσει* $\Delta_1\Delta_2$· *ὑποσκελίσει* M· *ὑποσκελλίσῃ* ed.
454 *χαλκῶν* M 456-457 *ἐξηγουμένος* M 457 *ἡ* om. M // *ὁμοούσιον*: *ὁμούσιον* M
460 *οὐχ ὑπὸ* : *οὐχὶ πολὺ* M 461 *ἔχῃ* ed. 462 *ἐν ἰδίᾳ ὑποστάσει* : *ἐνικία ὑποστάσεις* M 465 *ἡώρακε* M 467 *ταῦθ'* codd. ed. // post *τοῖς* add. *τῆς* nos
469 *πρεσβέβομενον ἦν* M 471 *ἄλλων* : *ἄλλοι* codd. // *κινδυνεβόντος* M
473 *ἀντιμοχομένων* M 477 *ἐκείνων* M // *λελησμένων* : *λελεγμένων* Δ_1· *λεγομένων* Δ_2 ed. 479 *τεχνιτικοῖς* M

455 2Cor. 4, 5
464 Phil, 2, 6
464-466 Joh. 14, 9-11

ἐβάλλοντο καὶ ἦν ὡς ἐν ὑσμίνῃ τὰ τῶν κεφαλῶν ἐξισάζοντα, τί ποιεῖ ὁ
γεννάδας οὗτος καὶ πρὸς τί γίνεται; Μᾶλλον δὲ πῶς τῷ ποιοῦντι θαυμά-
54v *σια | καθυπηρετεῖ καὶ πῶς τῷ ἐνεργοῦντι τὰ μεγάλα τῶν ἔργων εἰς ὑ-*
πουργίαν καθίσταται; «Εἰ μὲν οὖν ὑμεῖς», φησίν, «οἱ μὴ τὸ ὁμοούσιον
ἐξειπεῖν θέλοντες, ἀλλὰ διὰ χάρακος τοῦτο περιταφρεύοντες καὶ ὁμοιού-
σιον λέγοντες, ἀληθῆ φατὲ καὶ τῆς ἀκριβείας τὰ εἰρημένα ἐξέχετε, θαύ-
μασι πιστώσατε τὰ λεγόμενα». Λίθος δὲ ἦν ὁ μέσον τούτων ἐγκείμενος.
«Τοῦτον ἔλαιον ἐκβλῦσαι παραδόξως ἄρτι ποιήσατε καὶ πάντες στέρξω-
μεν ἂν τὰ παρ' ὑμῶν διδασκόμενα. Εἰ δ' οὖν, ἀλλ' αὐτοὶ τῷ τοῦ ὁμοου-
σίου ὀνόματι τῷ ἔργῳ ἐπιβαλοῦμεν καὶ τερατουργήσομεν τὰ παράδοξα».
Οἱ δὲ καὶ τί γὰρ ἔμελλον πράττειν ἢ καὶ τί λέγειν οἱ τῆς ἀληθείας πόρρω
φερόμενοι; Σιγῶσι πρὸς ταῦτα καὶ παραχωροῦσι τῷ Ἀχιλλίῳ τοῦ ἐγχει-
ρήματος. Τίς γὰρ τῶν ἀνάγνων ἐκείνων καὶ ἀνοσίων ἐλθεῖν εἰς τοιοῦτον
ἔργον ᾠήσατο, ἢ πῶς ἂν ψυχὴ βέβηλος τοιαύτας θαυματουργίας τελε-
55r *σθῆναι καθυπετύπωσεν; Οἱ οὐχ ὅτι ὡς | κόκκον σινάπυος τὴν πίστιν εἶ-*
χον, ὡς καὶ τῷ ὄρει ἐρεῖν καὶ ἀρθῆναι καὶ βληθῆναι πρὸς θάλατταν, ἀλλὰ
καὶ τὴν ἐνοῦσαν τοῖς ὀρθοδόξοις ἐκαπήλευόν τε καὶ παρεχάραττον καὶ
πρὸς ἀτόπους δόξας κατέφερον.

Οἱ μὲν οὖν οὕτως εἶχον οἱ τοῖς ἡμετέροις ἀντίφρονες καὶ σιγὴν ἦγον
καὶ πρὸς τὸ μέλλον παραδόξως ἀπέβλεπον, τάχα δὲ καὶ οἱ τοῦ ὀρθοῦ καὶ
ἡμετέρου φρονήματος. Τί δὲ πρὸς ταῦτα ὁ μέγας οὗτος πατήρ, ὁ νέος
Μωσῆς, ὁ πρὸς τὸν τῆς πίστεως ζῆλον καὶ Ἠλιοὺ θερμότερός τε καὶ
συντονώτερος; Ῥάβδῳ μὲν οὐ πλήττει τὴν πέτραν ὡς ὕδωρ ἐκβλῦσαι
καὶ λαὸν κορέσαι διψῶντά τε καὶ γογγύζοντα, οὐδὲ πῦρ ἐξ οὐρανοῦ κα-
τάγει ὡς ἂν τοὺς ἀσεβεῖς κατακαύσειε κατὰ τῶν ὑπὲρ ἡμᾶς θεομαχούν-
των καὶ τοῦ μονογενοῦς λόγου κατεπαιρομένους καὶ εἰς δουλείαν τὴν δε-
55v *σποτείαν κατάγοντας. Ἀλλὰ τὸν πρᾶον μιμούμενος, ὃς καὶ τοὺς | λεγε-*
ῶνας τῶν ἀγγέλων ἐν τῷ προδίδοσθαι παρῃτήσατο, ἱλαρῶς θαυματουρ-

---

482 *ὑσμίνῃ* : *ὑσμῖν ἡ* M   484 *καθυπηρετεῖ* : *καὶ ὑπηρετεῖ* Δ_2 ed.   486 *χάρακος* : *χάρακτος* codd.   486-487 *ὁμοούσον* M   488 *τούτων*: *τοῦτον* M
489-490 *στέρξομεν* codd.   491 *ἐπιβαλλοῦμεν* codd. ed.   492 *ἔμελλον* : *ἤμελον* M
493 *παραχωρίοῦσι* M   493-494 *τὸ ἐγχείρημα* ed.   495 *ᾠΐσατο* ed.
496 *σινάπεως* ed.   498 *ἐνοῦσαν* : *ἔννοιαν* ed.
500 *οὗτος* M // *οἱ τοῖς* om. M   502 *ἡμετέρον* M
503 *Μωϋσῆς* ed.   505 *κορέσαι* corr. nos : *κορέσει* codd. ed. // *οὐδὲ* : *ὁ δὲ* M
506-507 *θεομαχούντων* : *θεομάχων* Δ_2 ed.   508 *τὸν* : *τὸ* ed.

496-497 Matth. 17, 20; 21, 21

γεῖ τὰ παράδοξα. Ἄρας γὰρ ἄνω τοὺς ὀφθαλμούς, κἀκεῖθεν αἰτήσας τὴν
συνήθη χάριν τοῦ πνεύματος, ἐν ὀνόματι τοῦ μονογενοῦς καὶ ὁμοουσίου
Υἱοῦ, τὴν πέτραν βλῦσαι προσέταξεν ἔλαιον. Καί, ὦ τῶν μεγάλων σου
μυστηρίων δέσποτα Ἰησοῦ, καὶ τῆς ἀληθινῆς σου διδασκαλίας καὶ τῶν
ἀφάτων σου θαυμασίων φιλάγαθε! Ὑπακούει τῷ λόγῳ ἡ ἄψυχος καὶ τῶν
ἐμψύχων καὶ λογικῶν κατήγορος γίνεται. Ῥήσσεται γὰρ ἡ πέτρα, πη-
γαὶ δ' ἐλαίου ἀπέρρεον· καὶ τὸ θαῦμα πάνυ περιφανές, ὃ τὰς μὲν κεφα-
λὰς ἐλίπαινε τῶν πιστῶν, τῶν δὲ ἀπίστων κατέφλεγεν. Καὶ φωτὸς μὲν ὕλη
τοῖς εὐσεβέσιν ἐγίνετο, τοῖς δὲ ἀσεβέσι μείζων ἀφορμὴ τῆς κολάσεως.
Τοῦτο τῆς τοῦ Μωσέως τερατουργίας θαυμαστικώτερον, τοῦτο τῆς Ἠ-
λιοῦ θαυματουργίας ἐκπληκτικώτερον. Οὐδὲ γὰρ λαὸς ἐκ τούτου κο-
56r *ρέννυται | γογγυστής, ἀλλ' εὐσεβείας ναμάτων πληροῦνται εἰς ζωὴν ἀλ-*
λομένων οἱ εὐσεβεῖς καὶ τὸ πλήρωμα τῆς τοῦ Χριστοῦ ἐκκλησίας εἰς πί-
στιν στηρίζεται καὶ πέτραν εὑρίσκει πρὸς θεμελίους πνευματικούς, οὓς
ὁ ἀκρογωνιαῖος λίθος ἔπηξεν. Οὐ δὴ ἱερεῖς τῆς Βαὰλ μαχαίρᾳ σφάττον-
ται, ἀλλὰ τῷ τοῦ πνεύματος ξίφει ἱερεῖς αἱρετίζοντες καὶ κατὰ τοῦ λόγου
τοῦ Θεοῦ τὴν μάχαιραν ἀνατείνοντες διατέμνονται. Ἔλαιον δὲ τὸν τῆς
ἐκκλησίας καταλύει κατακλυσμόν, ἐπεὶ καὶ κάρφος ἐλαίας ποτὲ τοῦ φαι-
νομένου παῦσιν κατακλυσμοῦ ὑπενέφηνεν. Εἶτα τί κροτοῦσι τὰς χεῖρας
οἱ εὐσεβεῖς, αἴρουσιν εἰς ὕψος τὸν τερατουργοῦντα τὰ θαύματα; Αἰσχύνης
πλήρεις οἱ ἐναντίοι ἐνδείκνυνται καὶ τὸ τῆς εὐσεβείας ἐκρατύνετο κήρυγμα
καὶ τὸ σύμβολον ἐξετίθετο.

Τοιαῦτα τὰ ἐμὰ διηγήματα, τοσαῦτα τοῦ ἐμοῦ Ἀχιλλίου τὰ θαύμα-
τα· ἰδιοποιοῦμαι γὰρ τὸ κοσμικὸν ἀγαθόν, λόγον ὑπερβάλλοντα καὶ διά-
56v *νοιαν | καταπλήττοντα. Ἐπεὶ δὲ ὁ βασιλεὺς Κωνσταντῖνος τὸν ἄνδρα ἔγνω,*
διὰ θαύματος ἄγει ὅτι πολλοῦ· εὕρισκε καὶ γὰρ τοιοῦτον τοῖς ἔργοις, ὁ-
ποῖον τοῖς λόγοις ἐμάνθανε· καὶ ταῖς ἀξίαις αὐτὸν δεξιοῦται τιμαῖς· καὶ
εὐλογίαν αἰτεῖται καὶ χειρῶν ἐπίθεσιν εἰς εὐχάς. Καὶ μέντοι καὶ τυγ-
χάνει τούτων καὶ λαβὼν ἀντιδίδωσι· καὶ χάριν δεξάμενος τὴν τοῦ πνεύ-
ματος, τοῖς οἷς αὐτὸς ἐπλούτει δεξιῶς ἀνταμείβεται καὶ δῶρα χαρίζε-
ται καὶ χρυσὸν δαψιλῆ παρέχει εἴς τε πενήτων δόσεις καὶ ναῶν ἀνιδρύ-
σεις καὶ ἱερῶν σκευῶν πολυτέλειαν.

---

519 *Μωϋσέως* ed. // ante *Ἠλιοὺ* add. *τοῦ* Δ_2 ed.
520 *ἐκπλητικώτερον* $\Delta_1\Delta_2$ 521-522 *ἀλλομένων* : *ἀλωμένων* $\Delta_1\Delta_2$
524 *οὐ δὴ* : *οὐδ' ἡ* Δ_2· *οὐδ'* ed.
524-525 *σφάτιόνται* Δ_2 525 *τῷ* : *τὰ* codd.   533 *ἰδιοποιοῦμαι* : *ἰδιουποιοῦμαι* Δ_2. *ἴδιον ποιοῦμαι* ed.

521-522 Joh. 4, 14

Τοιαῦτα δράσας καὶ τοιούτων τυχὼν καὶ τῷ βασιλεῖ συνταξάμενος, ἔτι τε τοῖς μακαρίοις πατράσι καὶ συνασπισταῖς ἐκείνου πρὸς τὴν εὐσέβειαν, καὶ τῷ μακαρίτῃ Μητροφάνει τὰ εἰκότα διαλεξάμενος, —οὗτος καὶ γὰρ τῷ τότε τὸν τῆς Κωνσταντίνου ἐκόσμει θρόνον— πρὸς τὴν τῶν Λαρισαίων παλινοστεῖ, ταῖς ἁπάντων γλώσσαις καὶ λόγοις τοῖς πάντων πε-
57r ρικροτούμενος, | ἄσμενός τε ἀσμένοις τοῖς τέκνοις ἐπιφοιτᾷ, ὁ φιλόπαις τοῖς φιλοπάτορσιν, ὁ διὰ Χριστὸν ἔκδημος τοῖς ἐν Χριστῷ τὴν ἐκείνου ἐκδεχομένοις ἐπάνοδον· οἳ καὶ προστρέχοντες ἅπαντες πανταχόθεν οἱ παῖδες πρὸς πατέρα φιλότεκνον, ὃν διὰ μακροῦ χρόνου ἐπανιόντα ἐξ ἀλλοδαπῆς θεασάμενοι περιεφύοντο θερμῶς, προσέπιπτον τοῖς μακαρίοις ἐκείνου ποσίν, ἐκθύμως ἠσπάζοντο καὶ πόσης ἂν τις εἴποι εὐφροσύνης ἐπλήρωσεν ἅπαντας. Καὶ γὰρ πρὸς ἑαυτοὺς ἐστασίαζον ποῖος πρῶτος τούτῳ προσεγγίσας τὸν πόθον ἀφοσιώσηται. Χαρᾶς ὅτι μεγίστης καὶ ἡδονῆς ἐπληροῦντο, τὴν τοῦ πατρὸς ἐπιδημίαν ἑορτὴν κοινὴν ἐποιοῦντο, ἐν κρότοις καὶ εὐφημίαις ἐγέραιρον τὴν ἐπάνοδον, ἐν ὕμνοις εὐχαριστηρίοις ἐδόξαζον τὸν Θεόν, εὐλογιῶν κατηξιοῦντο καὶ εὐχῶν ὡς εἰκός, τὰ τῆς ἀποδημίας ὅπως ἔσχε διεπυνθάνοντο καὶ τὰ ἐν τῇ συνόδῳ πεπραγμένα
57v γλιχόμενοι ἠξίουν μαθεῖν. | Ὁ δέ, «ὦ τέκνα μοι φίλτατα», ἔφησε, «πατέρες καὶ ἀδελφοί, τίς ἐλπίσας ἐπὶ Κύριον κατῃσχύνθη ποτέ; Οὐδείς. Οἱ γὰρ πεποιθότες ἐπ' αὐτόν, ὡς ὄρος Σιών, εἰς τὸν αἰῶνα οὐ σαλευθήσονται, καθὼς εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον· ὅτι οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ, ἀλλ' ἐν τοῖς φοβουμένοις αὐτόν· ὃς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· ὃν τρόπον καὶ νῦν ἀντετάξατο καὶ κατέβαλε τοὺς ἀλαζόνας αἱρετικούς, μετ' ἤχου ἀπολέσας τὸ ἐκείνων μνημόσυνον, τὴν δὲ ὀρθόδοξον πίστιν ἐκράτυνε στερεώσας αὐτὴν εἰς αἰῶνα αἰῶνος».

Ταῦτα εἰπὼν ὁ μέγας, προσθεὶς ἐπὶ τούτοις καὶ τὰ τοῦ Θεοῦ τεράστια, πάντων εὔφρανε τὰς καρδίας καὶ τὰ φρονήματα ἐβεβαίωσε τοῦ ἀσφαλῶς τῶν τῆς ἀληθείας δογμάτων ἀντέχεσθαι καὶ μὴ λόγοις κιβδήλοις καὶ μιαροῖς αἱρετικῶν ὑποκλέπτεσθαι. Πρὸς τούτοις καὶ τὰ ἐκ βα-

542 τυχῶν $\Delta_1\Delta_2$ 544 Μητροφάνη $\Delta_1\Delta_2$· Μητροφάνῃ ed.   546 γλώτταις ed.
547 ἀσμένος $\Delta_1\Delta_2$ 549 οἳ : οἱ ed.   550 ἐπανίοντα $\Delta_1\Delta_2$ ed.
552 εἴπει $\Delta_1\Delta_2$ 557 εὐλογῶν Δ_2 559 μοι : μὴ $\Delta_1\Delta_2$
567 ante αἰῶνα add. τὸν Δ_2 ed. // ante αἰῶνος add. τοῦ Δ_2 ed.

560 Is. 28, 16 — Ro. 5, 5; 9, 33; 10, 11
561-562 Ps. 124 (125), 1
562-564 Ps. 146 (147), 10-11
564-565 Jac. 4, 6

58r σιλέως δῶρα | τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ πᾶσι τοῖς χρῄζουσι διενείματο, ἀνώτερος πάντων ἀναφανεὶς καὶ πᾶσι τοῖς παροῦσιν ἄληπτος καὶ ἀχείρωτος, σὺν τούτοις ἅπασιν ἐπισκήψας ἐπιμελεῖσθαι καὶ τῆς σφῶν σωτηρίας ἀλλὰ μὴν καὶ τῆς εὐσεβοῦς ὑπερεύχεσθαι βασιλείας.

Καὶ ταῦτα μὲν πρὸς ἐκείνους. Αὐτὸς δὲ τῶν συνήθων εἴχετο, ἐπιμελῶς ποιμαίνων τὸ ποίμνιον, ἐπὶ νομὰς ἄγων τὰς ζωηφόρους καὶ καθαράς, ὕδατα ποτίζων ὀρθοδοξίας ἀθόλωτα, θῆρας ἀποδιώκων λυμαντικούς, νυκτὸς καὶ ἡμέρας ἐπαγρυπνῶν τῇ τῶν θρεμμάτων Χριστοῦ φυλακῇ, ὑπὲρ ὧν ἔθηκε τὴν ψυχὴν αὐτοῦ ὁ ποιμὴν ὁ καλὸς καὶ ὧν τὴν ἐπιμέλειαν μέγιστον τῆς εἰς αὐτὸν ἀγάπης καὶ ὠφελείας δεῖγμα εἶναι αὐτοὺς ἀπεφήνατο. «Εἰ γὰρ ἀγαπᾷς με», φησί, «Πέτρε, ποίμαινε τὰ πρόβατά μου»· ᾧ καὶ οὗτος πειθόμενος ἢ μᾶλλον γρηγόρως ἑπόμενος εἴ καί τι
58v ἄλλο περὶ τὴν ποιμαντικήν, καὶ ἐνεργὸς διεδείκνυτο, | οὐ μόνον τῶν ψυχῶν φροντίζων, ὅπερ δὴ τὸ ἐξαίρετον, ἀλλὰ καὶ αὐτῶν τῶν σωμάτων ἐπιμελούμενος· χεῖρας ὀρέγων τοῖς πᾶσι, ἢ μᾶλλον εἰς πάντας πάντα γενόμενος· χηρῶν, ὀρφανῶν, πενήτων, ἀδικουμένων, τῶν κακῶς πασχόντων προϊστάμενος ἐν πολλῇ σπουδῇ καὶ πᾶσαν νόσον καὶ μαλακίαν τούτων ἰώμενος, πᾶσί τε κοινὸν ταμεῖον τῶν ἀγαθῶν καὶ ἑκάστῳ νέμων εὐθύμως τὰ πρόσφορα.

Οὕτω τὸν πάντα βίον αὐτοῦ οἰκονομῶν ὁ θαυμάσιος καὶ οὕτω τοῖς ἐκ Θεοῦ δεδομένοις αὐτῷ διαλάμπων χαρίσμασι —ἐπεὶ τριακοστὸν ἤδη καὶ πέμπτον ἔτος ἐν τῷ τῆς ἀρχιερωσύνης αὐτῷ βαθμῷ διηνύετο—, μηνύεται παρὰ Θεοῦ ἡ τῆς ἐκδημίας τοῦ σώματος αὐτοῦ ἡμέρα, μᾶλλον δὲ πρὸς τὸν Θεὸν ἐνδημία, οὕτω γὰρ εἰπεῖν οἰκειότερον. Τί οὖν ποιεῖ; Ἅπαντας μὲν ὡς αὐτὸν συγκαλεῖ τοὺς τοῦ ποιμνίου ποιμένας ἅμα καὶ ποί-
59r μνια· καὶ ἅπαντας ὁμοῦ τούτους εὐλογήσας καὶ ὥσπερ δέ τινα | κλῆρον ἀφιεὶς αὐτοῖς τὰς ἱερὰς αὐτοῦ ἐντολάς, οὐ χρήματα καὶ πλοῦτον ἐπίκηρον προξενούσας, ἀλλ' ὧν αὐτὸς ἦρα καλῶν τοῖς τῶν ὁμοίων ἐρῶσιν οὐδέποτε φθείρεσθαι δυνατόν, λόγων οὕτως ἐχόντων πρὸς αὐτοὺς ἄρχεται:

574 σὺν τούτοις : σαυτὸν τοῖς ed.   577 ποιμένων $\Delta_1\Delta_2$
578 θῆρας $\Delta_1\Delta_2$ ed.   586 πάντας: πάντα ed. // πάντα corr. nos : πᾶσι $\Delta_1\Delta_2$ ed.
592 διδομένοις ed. // ἐπεὶ corr. nos : εἰς codd. ed.   593 τῷ : ᾧ ed. // βαθμὸς ed. // διενύετο Δ_2 ed.   595 ἐνδημίας ed.   596 τοὺς : τῆς $\Delta_1\Delta_2$ 599 ἦρα Δ_2· ἤρα ed.

580 John. 10, 11
582-583 Joh. 21, 15-18
586-587 1Co. 9, 22-23
588-589 Matth. 4, 23; 9, 35; 10, 1

«Ἐγὼ μέν, τέκνα, ἤδη πρὸς Θεὸν ἐπείγομαι καὶ ὁ καιρὸς τῆς ἐμῆς ἐφέστηκεν ἀναλύσεως. Χρὴ οὖν ὑμᾶς ἐπιμέλειαν τῶν οἰκείων θέσθαι ψυχῶν, ἕως ἔστι καιρός, εἰδότας ὅτι μετανοίας μετὰ θάνατον ἰσχὺς οὐδεμία, ἀλλ' ἐκεῖ μὲν τῶν ἀντιδόσεων ὁ καιρός, ἐνταῦθα δὲ τῶν πόνων καὶ τῶν ἀγώνων· καὶ ὅτι τῶν παρόντων κἂν τερπνὸν ᾖ τι καὶ ὀφθαλμὸν εὐφραῖνον ἢ φάρυγγα, ἀλλὰ ταχέως ῥεῖ καὶ εἰς τὸ μὴ ὂν περιίσταται· κἄν τι λυπηρὸν καὶ ἐπίπονον, καὶ αὐτὸ ταχὺ λυομένην ἔχει καὶ πρόσκαιρον τὴν ὀδύνην· τῶν μελλόντων δὲ καὶ τὸ εὐφραῖνον αἰώνιον καὶ τὸ ἀλγῦνον ἀείποτε διαμένον. Διὸ καὶ πρῶτα μὲν οὖν ὑμῖν τὰ τῆς πίστεως ὑγιῶς ἐχέτωσαν καὶ βεβαίως, [59v] *| κινδύνῳ μηδενὶ σαλευόμενα. Ἔπειτα δὲ καὶ ὁ βίος καθαρὸς ἔστω ἢ καθαιρέσθω· καὶ πρό γε πάντων, ὁ τοῦ σώματος ἁγιασμὸς σπουδαζέσθω, ὥστε ναοῖς ἀμολύντοις οὖσιν ἐπιφοιτῆσαι τὸν καθαρὸν ὑμῖν καὶ ἐνοικῆσαι καὶ τοῦ ἁγιασμοῦ αὐτοῦ καὶ τῆς εὐωδίας τὴν ψυχὴν πληρῶσαι. Πονηρὸν ὀργὴ καὶ θυμὸς καὶ εἴ τι ἄλλο βλάπτειν ἢ ὠφελεῖν τὸ φιλάδελφον δύναται· ὑμῖν δέ, ἀλλὰ παντὶ τρόπῳ περιποιείσθω τὸ εἰρηνικόν τε καὶ ἥμερον. Εἰ δὲ καὶ συμβαίη ποτὲ ἀλλήλων μεταξὺ σκάνδαλον, μὴ ἐπιδυέτω ὑμῖν ὁ ἥλιος, οὕτω ἀφεγγῶς ἔχουσιν ἐκ τοῦ μίσους· ἀλλ' ἀνακλητέον ὡς οἷόν τε σπουδαίως τὸ τῆς ἀγάπης καλόν, ὡς μὴ ἐξὸν τούτου χωρὶς τὸν νοητὸν ἰδεῖν ἥλιον. Φαύλου δὲ λογισμοῦ ταῖς ὑμετέραις ἐνσπαρέντος ψυχαῖς, ἐπιμελὲς ὑμῖν γινέσθω τάχιον αὐτὸν ἐξωθεῖν· οὕτω γὰρ εὐχερεστέρῳ πρὸς τὴν ἐκβολὴν χρήσεσθε· καὶ γὰρ ὅσῳ περ ἂν πλέον παραμένειν ἐῷτο,* [60r] *| τοσούτῳ καὶ πλείονα παρέξει τὰ πράγματα καὶ δυσμαχώτερος ἔσται τῷ καταγωνίσασθαι βουλομένῳ. Ὅπλα δὲ ὑμῖν ἔστω πρὸς τὸν αὐτοῦ πόλεμον νηστεία, προσευχή, δάκρυα, μνήμη τε θανάτου καὶ γεέννης καὶ τὸ πάντων ἰσχυρότατόν τε καὶ φοβερώτατον τοῖς ἐχθροῖς, ἡ μακαρία ταπείνωσις. Ἀσφάλεια δὲ πρὸς τὸ μήδ' ὅλως τοῖς τοιούτοις ἁλίσκεσθαι λογισμοῖς, αἰσθήσεων φυλακή, καὶ πρό γε τῶν ἄλλων, ὀφθαλμῶν καὶ ὤτων· ἐντεῦθεν γὰρ ἐκείνοις ἡ καθ' ἡμῶν εἴσοδος καὶ ὁ διὰ τῶν θυρίδων εἰσιὼν ἡμῖν θάνατος. Κτῆμα πάντων τιμιώτατον οἶδα τὴν ἀκτησίαν· καὶ τοῦτο πλοῦτος τῷ εὐγενεῖ ὄντως καὶ ἀκριβῶς ἐλευθέρῳ, τὸ μηδεμιᾷ δεδέσθαι τῶν παρόντων ἐπιθυμίᾳ. Ἐπιμετρεῖ μέντοι τὴν ἀναγκαίαν τῷ σώματι χρείαν ὁ θεῖος ἀπόστολος, ἔχοντες, λέγων, διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. Δεινὸν ὑψηλοφροσύνη*

603 *ἔστι : ἔστη* Δ_2 605 *ὅτι : ὅ,τι* ed. // *ἢ τί* $\Delta_1\Delta_2$. *ἤ τι* ed. 606 *φάρυγκα* $\Delta_1\Delta_2$
608 *ἀλγῦνον : ἀλγοῦν* ed. 612 *ὑμῖν : ἡμῖν* $\Delta_1\Delta_2$
617 *ἀφεγκῶς* $\Delta_1\Delta_2$ ed. 631 *μήδεμιὰ* Δ_1· *μήδεμια* Δ_2· *μηδεμία* ed.

632-633 1 Tim. 6, 8

[60v] *| καὶ ὡς οὐδὲν ἄλλο καθαιρεῖν δυνάμενον, ἢ πέφυκε μὲν ὡς τὰ πολλὰ πλούτῳ κατορθωμάτων ἕπεσθαι, εἶτα γίνεσθαι τούτου χαλεπὸν ἐκείνη ναυάγιον. Ἀλλ' ἕστηκε δεξιὰν ἡμῖν ὑποτείνων ὁ θεῖος πάλιν ἀπόστολος καὶ τῷ ῥήματι πολλὴν παρέχων τοῖς ὦτα ἔχουσι τὴν ἀσφάλειαν· ὁ γὰρ δοκῶν ἑστάναι, φησί, βλεπέτω μὴ πέσῃ. Τὸ κρίνειν τὸν ἀδελφὸν εὐλαβητέον, ὁπόση δύναμις· γέννημα γὰρ τοῦτο ψυχῆς ὑπεροπτικῶς ἐχούσης καὶ φαρισαϊκῶς καὶ δικαιοῦν ἑαυτὸν διὰ τῆς τοῦ πλησίον κατακρίσεως βουλομένου· ἀλλὰ σὺ τούτου ἀποστάς, εἴ σοι φίλον κρίνειν, ἐγγύτατα σεαυτὸν ἔχων, μὴ διαλίπῃς ὅσαι ἡμέραι κρίνων τε καὶ ἀνακρίνων καὶ ὡς ἄριστα διορθούμενος. Πρόχειρον εἰς ὕβριν θεραπευομένη γαστὴρ καὶ τὸν θεραπευτὴν ἀθλίως ἀμειβομένη, πόνοις δὲ κάμπτεται καὶ νηστείᾳ δαμάζεται καὶ ὡς θρασὺς ἵππος τῶν ἀτάκτων εἴργεται σκιρτημάτων.* [61r] *| Τῆς φιλοξενίας ὑμῖν οὐκ ἐπιληστέον· ξενίζοντες δέ, καὶ τοὺς πόδας μετριοπαθῶς νίπτετε. Τοῦτο γὰρ ἐντολὴ Χριστοῦ καί, πρῶτος αὐτὸς δράσας, ἡμῖν ἔχεσθαι τοῦ ὁμοίου παρεκελεύσατο. Ἔστι γὰρ οὐ θεραπευτικὸν τοῦ πλησίον μόνον, ἀλλὰ καὶ τὸ χαλεπὸν νόσημα τῆς ψυχῆς, τὴν οἴησιν, ὡς οὐκ ἄλλο τι θεραπεύειν δυνάμενον. Πολλὰ μὲν καὶ ἄλλα τοῦ ῥύπου τῆς ἁμαρτίας καθάρσια ὁ ποιητὴς καὶ σωτὴρ τῶν ἡμετέρων ἐξεῦρε ψυχῶν, οἷον δάκρυα, στεναγμούς, συντριβὴν καρδίας, νηστείαν, προσευχήν, χαμευνίαν καὶ εἴ τι ἄλλο φάρμακον τῆς φιλανθρώπου δέδεικται μετανοίας. Ἀλλ' ἐπίπονα καὶ καματηρὰ ταῦτα, κἂν πολλὴν παρέχωσι τὴν ἀσφάλειαν. Ἓν δὲ οἶδα πάνυ μὲν ἄπονον, πάνυ δὲ καθᾶραι ῥύπον ψυχῆς ἰσχυρότατον. Τί τοῦτό ἐστι; Τὸ ἀφιέναι τοῖς πταίσασι τὸ ἁμάρτημα, ὅπερ οὐ τῷ Θεῷ μόνον φίλον ἐστὶ καὶ λύσιν ἀπ' ἐκείνου πρεσβεύει τῶν ἡμετέρων κακῶν, ἀλλὰ καὶ τιμωρίας* [61v] *| πολλάκις σφοδρότερον ἅπτεται τοῦ ἡμαρτηκότος καὶ δοῦλον ἀντ' ἐλευθέρου τῷ συνεγνωκότι ποιεῖ, ᾗ δοκεῖ καὶ τοῖς θύραθεν, συγγνώμη λέγουσι τιμωρίας κρείττων.*

Ταῦτα καὶ πλείω ἄλλα τοιαῦτα τοῖς φοιτηταῖς εἰρηκώς, ἐπευξάμενός τε ψυχῆς σωτηρίαν καὶ εὐλογήσας αὐτούς, οὐδεμίαν νόσου λαβὼν αἴσθησιν οὐδὲ ἀλγήσας τι τῶν μορίων τοῦ σώματος, ἀναπεσὼν ἔν τινι

636 *ἕστηκε : ἔτηκε* Δ_2· *ἔτι καὶ* ed. 637 *ὁ γὰρ : ὅ γε* ed.
641 *βουλομένου : βουλομένης* ed.
642 *διαλίποις* $\Delta_1\Delta_2$ ed. // *κρίνον* Δ_2 647 *νίπτεται* $\Delta_1\Delta_2$ // *γὰρ : γε* ed.
648 *οὐ : ὂν* ed. 651 *ἐξ' εὗρε* $\Delta_1\Delta_2$
654 *κἂν* Δ_1 655 *καθάραι* $\Delta_1\Delta_2$· *κάθαραι* ed. 656 *πταίσασι : πταίσμασι* Δ_2 // *τὸ ἁμάρτημα : τὰ ἁμαρτήματα* Δ_2 ed. 657 *φιλόν ἐστι* ed. 659 *ᾗ* corr. nos : *ἡ* Δ_1· *εἰ* Δ_2 ed. 660 *κρεῖττον* Δ_2 ed.

637-638 1 Co. 10, 12

τῶν σκιμπόδων, ἀνῆκε μὲν τοὺς πόδας, ἀφῆκε δὲ καὶ τὴν μακαρίαν ψυχήν, χαίρουσι χαίρουσαν τοῖς ἀγαθοῖς αὐτὴν παραδοὺς ἀγγέλοις· τὸ δὲ σῶμα τοῖς ποθοῦσι καὶ ποθουμένοις τέκνοις κατέλιπε. Τί τὸ ἐντεῦθεν; Περιστάντες αὐτὸν ἅπαν τὸ πλῆθος, ἡλικία πᾶσα, διάφορός τε τύχη καὶ ἐπιτήδευμα, τοὺς ἐπικηδείους ἐκείνῳ λόγους προσέφερον· οἱ μὲν οἰμώζοντες καὶ τὸν πατέρα ἀποκλαιόμενοι καὶ τὴν ὀρφανίαν μὴ στέγοντες, 62r οἱ δὲ τὸν ποιμένα ζητοῦντες καὶ τὰ ἐκείνου / ἐξυμνοῦντες καὶ μεγαλύνοντες καὶ στέρησιν τὴν τούτου μὴ ἀνεχόμενοι· ἅπαξ ἁπλῶς δὲ οἱ πάντες ἀποδυρόμενοι, οἵου καλοῦ ἐν ἀφαιρέσει γεγένηνται.

Τοιαῦτ' οὖν ὡς εἰκὸς θρηνήσαντές τε καὶ λέξαντες, καὶ τὴν ὁσίαν μεγαλοπρεπῶς ἅμα ⟨τε καὶ⟩ φιλοτίμως ἀφοσιώσαντες τῷ πολλὰ τούτους καὶ πολλάκις καὶ διὰ πολλῶν τῶν χρόνων εὐεργετήσαντι, τῇ παρ' αὐτοῦ κατεσκευασμένῃ λάρνακι, — ἔτι γὰρ ζῶν ἐκεῖνος ταύτην ἁγιοπρεπέστερον ᾠκονόμησεν — τὸ ἅγιον αὐτοῦ καὶ σεβάσμιον σῶμα καὶ ζῶν ὡς ἀληθῶς ἐν τοῖς θαύμασιν — ὁ γὰρ εἰπὼν ἀψευδής, ἀναπεσὼν ἐκοιμήθη ὡς λέων —, ἱεροπρεπῶς ἐγκατέθεντο, μείζω τε καὶ πλείω τῶν αὐτοῦ πρὶν θαυμάτων ἀπεργαζόμενος. Πηγὴ γὰρ μύρου τοῦ ἱεροῦ τούτου καὶ σεβασμίου ἀπέρρωγε σώματος, νοσημάτων πολυειδῶν ἀκεσώδυνον φάρμακον. Ἔδει γάρ, τὴν τοῦ ἐλαίου πηγὴν ἐν ἑαυτῷ ἀναδείξαντα, ἐν οἷς εὐηργέτει 62v τοὺς ὑπ' αὐτόν, / ἢ καὶ τὸν πρῶτον ἔλεον θεραπεύσαντ⟨α⟩, πέτραν δὲ ῥύακας ἐλαίου ἀποβλῦσαι ποιήσαντα, καὶ μετὰ τὴν τελευτὴν ἐλαίου μύρα προχέειν εἰς πίστωσιν τῶν προγεγενημένων καὶ τῶν μελλόντων βεβαίωσιν.

Συχναὶ παρῆλθον ἡμέραι καὶ οὐκέτι στάσις τῶν εἰσιόντων ἐγίνετο οὐδέ τις παῦσις πρὸς τὴν συνδρομήν τε καὶ τὴν συγκίνησιν. Σύγχυσις διὰ ταῦτα τοῖς εἰσερχομένοις τῷ θείῳ συντάγματι γίνεται· κἀντεῦθεν ἡ λάρναξ κρύπτεται καὶ καλύπτεται σῶμα ἱερόν, ἵνα μὴ βεβήλων τούτου χεῖρες ἐφάπτωνται. Καὶ ἦν ὁ θησαυρὸς κεκρυμμένος, ὡς τῷ κρείττονι ἔδοξε, καὶ τὸ ἱερὸν κειμήλιον κεκαλυμμένον καὶ μὴ πρὸς χρῆσιν ἐγκείμενον. Παρερρύησαν ἐπὶ τούτοις χρόνοι πολλοί, ὡς οἱ τὰ αὐτοῦ ἐξιστορήσαντες ἔφησαν. Καὶ πάλιν ἀνακαλύπτεται τὸ θησαύρισμα, οὐκ οἶδα μὲν οὖν

664 σκιπτόδων Δ_2 667 διαφόρος $\Delta_1\Delta_2$ 671 τὴν : τοῦ $\Delta_1\Delta_2$
672 οἷον καλὸν Δ_2 676 κατασκευασμένη $\Delta_1\Delta_2$ ed.
679 μεῖζων Δ_2 679-680 πρὶν θαυμάτων : θαυμάτων πρὶν Δ_2· θαυμάτων ἃ πρὶν ed.
682 εὐεργέτει Δ_2 ed. 683 τὸν : τὸ ed. // ἔλεον corr. nos : ἔλαιον $\Delta_1\Delta_2$ ed. // θεραπεύσαντι Δ_2 ed. 687 στάσεις $\Delta_1\Delta_2$ 690 χεῖρας Δ_2 691 ἐφάπτονται $\Delta_1\Delta_2$ // τῷ : τὸ $\Delta_1\Delta_2$ 694 οἶδα μὲν : οἴδαμεν Δ_2· οἴδαμεν ed.

678-679 Ge. 49, 9

ὅπως, ἀνακαλύπτεται δ' οὖν. Καὶ τὸ ἱερὸν ἐκεῖνο σῶμα γνώριμον τοῖς 63r πᾶσιν ἐγγίνεται· καὶ πάλιν / αἱ τῶν μύρων βλύσεις, καὶ αὖθις αἱ τῶν νοσημάτων ἀπαλλαγαί· καὶ πάλιν Λαρισαίοις τὰ κάλλιστα. Ἀλλὰ πεφθόνηκεν αὐτοῖς τοῦ μεγάλου τούτου θησαυροῦ τὸ δαιμόνιον. Καὶ ὁ βασκαίνων τοῖς ἡμετέροις καλοῖς ἐγείρει μάχην Βουλγάρων κατὰ Ῥωμαίων. Ἐπεὶ δὲ πρὸς καιρὸν οἱ Βούλγαροι ἴσχυσαν, συλῶσι τὸν θησαυρὸν καὶ τὸν μέγαν πλοῦτον τῶν Λαρισαίων ἁρπάσαντες εἰς τὴν σφετέραν μετατιθέασι καὶ ἔστιν ἐκεῖσε, πολλῶν θαυμάτων καὶ ἐξαισίων αὐτουργὸς γενόμενος. Ἡ λάρναξ δὲ παρὰ Λαρισαίοις καί τι μέρος τοῦ σώματος· διατέτμηται γὰρ καὶ ἁπανταχοῦ διαδίδοται τὸ καλόν.

Ἀλλ' ἐπεὶ τὰ καθ' ἱστορίαν ἡμῖν καθὼς ἐπέγνωσται, οὑτωσί πως καὶ γέγραπται, φέρε δὴ καί, ὡς ἄρτι τὸν βίον καταλιπόντος τοῦ μάκαρος καὶ μεταλλάξαντος τῶν τῇδε καὶ ἀποδημήσαντος πρὸς Θεόν, ἢ μᾶλλον ὡς ζῶντος, — οὐδὲ γὰρ τέθνηκε, κἂν πρὸς αἴσθησιν ἀπεβίωσε — τὸν ὕμνον 63v τούτῳ ἀφοσιώσωμεν καὶ τὴν / παρ' αὐτοῦ χάριν αἰτήσωμεν καὶ τὴν πνευματικὴν αὐτοῦ δύναμιν παρακαλέσωμεν εἰς κυβέρνησιν.

Δεῦτε δῆμοι πάντες οἱ τῆς ἐκείνου διδασκαλίας παραπολαύσαντες καὶ τῆς ἐκείνου ποίμνης τυγχάνοντες, τὰ τοῦ λόγου μοι συνεργάσασθε καὶ κοινὴν οἷον πρὸς τοῦτον ἀράμενοι τὴν φωνὴν τοιαῦτα λιπαρῶς μοι συμφθέγξασθε: «Σὺ μέν, ὦ πάτερ, τὴν καλὴν ταύτην ἐστείλω πορείαν, ἣν ἐκ μακροῦ ἐπεπόθησας, καὶ νῦν οἰκεῖς ἐν τοῖς οὐρανοῖς καὶ διδασκάλοις μὲν συναυλίζῃ, ὑπὲρ ὧν καὶ δεδίδαχας καὶ ὁσίοις συναπολαύεις τῶν ἀγαθῶν ὑπὲρ ὧν ἐνταυθοῖ κεκοπίακας· καὶ μάρτυσι συγχαίρεις καὶ ἀποστόλοις συνευφραίνῃ καὶ ἀγγελικὴν αὐχεῖς τὴν ἀνάπαυσιν, ὡς ἄγγελος κατὰ βίον ἀναφανεὶς καὶ τὴν πολιτείαν ὡς ἄσαρκός τε καὶ ἄυλος. Μὴ γοῦν, τῶν ἐνταῦθα ἀπάρας καὶ πρὸς τὴν μακαρίαν ταύτην καταντήσας ἀνάπαυσιν, τὸ σὸν καταλίποις ποίμνιον· μηδέ, τῷ σώματι ἀποστάς, ἀπο- 64r σταίης καὶ τῷ πνεύματι / μηδὲ τῶν σῶν ἐπιλάθοιο συνθηκῶν. Ἀλλὰ νῦν ᾗ πρότερον τῶν σῶν θρεμμάτων κήδου καὶ τοῦ σοῦ ποιμνίου φρόντιζε· καὶ ποιμένας μὲν ἐπόπτευε καὶ τούτοις συμποίμαινε, τὰ πρόβατα δέ σοι κατάρτιζε καὶ πάντας πρὸς ὕδωρ ζωῆς καὶ χλόην ἀναπαύσεως σύναγε. Καὶ τοὺς λύκους τῇ σῇ θειοτάτῃ βακτηρίᾳ ἀπόπεμπε, τούς τε φαινομένους καὶ ἀοράτους, τοὺς καθ' ἡμῶν χαίνοντας καὶ τὰ ἡμέτερα λυμαίνε-

695 ἐκείνω $\Delta_1\Delta_2$· ἐκείνου ed.
705 καθιστορίαν $\Delta_1\Delta_2$ // ἐπέγνωσθαι $\Delta_1\Delta_2$ ed.
708 κὰν Δ_1 712 συνεργάσασθαι $\Delta_1\Delta_2$ ed.
714 συμφθέγξασθαι $\Delta_1\Delta_2$· συμφράξασθαι ed. 715 ἣν : ἢν $\Delta_1\Delta_2$
721 καταλίπης $\Delta_1\Delta_2$ 721, 722 μηδὲ : μὴ δὲ $\Delta_1\Delta_2$
722 ἐπιλάθοι Δ_2 ed. 723 ᾗ corr. nos : ἢ $\Delta_1\Delta_2$ ed.

σθαι θέλοντας. Ἐπὰν δὲ καὶ μετασταίημεν, δέξαιο πρὸς τὰς ἁγίας καὶ αἰωνίους σκηνάς, ὡς ἂν κἀκεῖσε κοινῇ συζῴης τοῖς τέκνοις σου, τοῖς πολλά σε πεφιληκόσι καὶ παρὰ σοῦ πεφιλημένοις τὰ μάλιστα· καί σοι συνεποπτεύοιμεν τὴν θείαν καὶ ζωαρχικὴν Τριάδα λαμπρότερόν τε καὶ καθαρώτερον καὶ διὰ παντὸς συνείημεν ἐν Χριστῷ, εἰς ὃν ἅπαν ἐφετὸν κινούμενον ἵσταται, ᾧ καὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

728 ἐπὰν : ἐπ' ἂν $\Delta_1\Delta_2$ ed.
733 ᾧ καὶ: ᾧ Δ_2 ed. 734 ἀεὶ καὶ om. Δ_1

Γ'

ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ ΑΝΕΚΔΟΤΟΣ ΚΑΝΟΝΑΣ ΤΟΥ ΑΓΙΟΥ ΑΧΙΛΛΙΟΥ ΛΑΡΙΣΗΣ

Ἐκδίδεται ἀπὸ τὸν κώδικα 212, φφ. 88v-90r, τῆς Μονῆς Διονυσίου τοῦ Ἁγίου Ὄρους (= cod.).

88v *Τοῦ αὐτοῦ ⟨Ἰωσὴφ⟩ ἕτερος κανὼν φέρων ἀκροστιχίδα:*
Τὸν κλεινὸν ὕμνοις Ἀχίλλιον αἰνέσω.

ΩΔΗ Α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην ⟨Φαραώ⟩.

Τῷ *βασιλεῖ στεφανηφόρος, ἔνδοξε,*
νῦν παριστάμενος
καὶ τῆς αὐτοῦ αἴγλης
πάντοτε πληρούμενος,
τοὺς σὲ ὑμνοῦντας φώτισον
καὶ εἰς μῆκος αἰώνων
τὴν ποίμνην σου διατήρησον,
ὅπως κατὰ χρέος δοξάζῃ σε.

Οἱ *τῇ σεπτῇ σου προσιόντες λάρνακι*
πᾶσι κηρύττουσι
τὴν τῆς ὀσμῆς χάριν,
ἥνπερ ἀναδίδωσιν,
ἧς δὴ κἀγὼ γενόμενος
θεωρὸς καὶ αὐτόπτης,
οὐ παύσομαι διηγούμενος
σοῦ τὰ μεγαλεῖα, θεσπέσιε.

Νόμοις *πειθόμενος σαρκός, Ἀχίλλιε,*
ἐν γῇ ἐτάφης θανών,
ἀλλ' οὐδὲ γῇ κρύπτειν
πάντοτε ἠνέσχετο

heirm. α' EE 219, n. 314, Joannis

τὸ ἱερόν σου λείψανον,
ἀλλ' ἀνέδωκε τοῦτο
ἐκβλῦζον πᾶσιν ἰάματα
τοῖς εὐσεβοφρόνως προστρέχουσιν.

Θεοτοκίον.

Κόρη *πανάμωμε, παρθένε δέσποινα,*
τὸν σὸν δυσώπει υἱόν,
ὃν ἐν χερσὶ φέρεις,
ἀρρήτως γεννήσασα
. . . .

⟨ΩΔΑΙ Γ', Δ' desunt⟩

. . . .

⟨ΩΔΗ Ε'. Ἱνατί με ἀπώσω.⟩

. . . .

89r . . . . | *προσφεύγω*
μή με ἀπώσει σὸν οἰκέτην,
ἀλλὰ σπεῦ⟨σ⟩ον, βοήθει μοι, ἅγιε.

Θεοτοκίον.

Ἰακὼβ *σὲ προεῖδε*
πρὸς ὕψος οὐράνιον κλίμακα φέρουσαν
τῶν βροτῶν τὸ γένος,
Θεοτόκε ἁγνὴ ἀειπάρθενε,
ἀλλὰ σύ μοι δίδου
ἀπαλλαγὴν τῶν ἐγκλημάτων
πρὸς Θεὸν παρρησίαν ὡς ἔχουσα.

ΩΔΗ Ϛ'. Ἱλάσθητί μοι, ⟨σωτήρ.⟩

Σταυρὸν ἐπ' ὤμων τῶν σῶν

---

23 ἐκβλύζων cod.
39 τῶν σῶν corr. nos: τὸν σὸν cod.
heirm. ε' EE 219, n. 314, Joannis
heirm. ϛ' EE 220, n. 315, Joannis Damasceni

32-33 Gen. 28, 12

ἀράμενος, ἀξιάγαστε,
τῷ μόνῳ ζῶντι Θεῷ
Χριστῷ ἠκολούθησας,
ὃς δὴ καὶ ποιμένα σε
τῆς τῶν Λαρισαίων
μητροπόλεως προβάλλεται.

Ἀνύστακτε *πρεσβευτὰ*
τῶν σὲ τιμώντων Ἀχίλλιε,
ὑπνώττοντά με δεινῶς
ἀνάστησον, δέομαι,
τὸν αὐτοκατάκριτον,
ὡς ἐν ἀμελείᾳ
τὴν ζωὴν ἐκδαπανήσαντα.

Χαρᾶς *ἀλήκτου τανῦν*
ἡ Θετταλία πεπλήρωται,
πλουτήσασά σε θερμὸν
προστάτην, Ἀχίλλιε·
τίς γάρ σοι προσέδραμεν
ἐκ πίστεως, πάτερ,
καὶ οὐχ εὕρατο τὴν αἴτησιν;

Θεοτοκίον.

Ἵνα *θείας κοινωνοὺς*
ἡμᾶς ἐργάσηται φύσεως,
ἐπτώχευσε τὴν ἡμῶν
οὐσίαν ὁ Κύριος,
σάρκα προσλαβόμενος
ἐκ τῆς ἀπειράνδρου
ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

⟨Κοντάκιον. Ἦχος δ'.⟩ Πρὸς τό: Ἐπεφάνης ⟨σήμερον⟩.

Παραδόξως σήμερον, Χριστοῦ θεράπον,
89v | *ὡς ἀστὴρ ἐξέλαμψας καὶ κατεφώτισας ἡμᾶς,*
σωματικῶς φανερούμενος,
ἱερομῦστα παμμάκαρ Ἀχίλλιε.

---

heirm. κοντακίου HR 169 — MR III 150, 163, 177, 207, 219

39-40 Matth. 16, 24; Mar. 8, 34; Luc. 9,23

⟨῾Ο οἶκος⟩.

῾Ως ἑωσφόρος φαεινὸς
ἐπέστη σου, θεόφρον, ἡ θεία καὶ μεγίστη,
Χριστοῦ θεράπον, μνήμη
καὶ καταυγάζει τοὺς πιστῶς
σήμερον τελοῦντας
πόθῳ ταύτην καὶ Χριστὸν
ὑμνοῦντας τὸν φιλάνθρωπον,
τὸν ἀκαταληψίᾳ νοούμενον
τῷ χορῷ τῶν ἀγγέλων,
τὸ σὸν πνεῦμά τε τάχα
Θεὸν ὁμοῦ καὶ Κύριον μόνον.
Διὸ ταῖς σαῖς εὐχαῖς αἰνεῖν σε προθύμως,
συνελθόντας ἐν χαρᾷ,
λόγον παράσχου·
δύνασαι καὶ γὰρ ἀεὶ συνιὼν τῷ δεσπότῃ,
ἱερομύστα παμμάκαρ ᾿Αχίλλιε.

ΩΔΗ Ζ΄. Θεοῦ συγκατάβασιν.

Λαμπρῶς ἑορτάζομεν
τὴν σεβασμίαν μνήμην σου, ὅσιε,
καὶ τιμῶντες ὑμνοῦμεν,
τῇ τῶν λειψάνων θήκῃ προστρέχοντες,
καὶ εὐφροσύνης πληρούμενοι κράζομεν·
⟨εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.⟩

Λοιμοῦ καὶ κακώσεως
καὶ πάσης ἄλλης βλάβης περίσωζε
τὴν τιμῶσάν σε ποίμνην
καὶ χαρμοσύνως συνεορτάζουσαν
καὶ σὲ αὐχοῦσαν προστάτην καὶ σύμμαχον
καὶ ἐν δεινοῖς ἀρωγόν,
πάτερ ᾿Αχίλλιε.

---

85 *συνιὼν τῷ* corr. nos : *συνιόντα* cod.
90 *τῇ ... θήκῃ* corr. nos : *τὴν .... θήκην* cod.
heirm. ζ΄ EE 219, n. 314, Joannis

᾿Ιλέου τὸν Κύριον
ὑπὲρ τῆς ποίμνης ἧς σε κατέστησε
. . . .

⟨ΩΔΑΙ Η΄, Θ΄ desunt⟩

. . . .
90r | *τοῦ ἀφαρπάσαι τῆς γεέννης με.*

⟨Θεοτοκίον.⟩

Τὸ ὄμμα τῆς καρδίας διὰ παντὸς
ἀτενίζω πρὸς σὲ τὴν ἀκοίμητον,
τὴν μητρικὴν ἔχουσαν πρεσβείαν
πρὸς τὸν ἐκ σοῦ σεσαρκωμένον, πάναγνε·
κοίμησον τὰ πάθη μου τῆς ψυχῆς,
πρὸς ὄρθρον μετανοίας
ἐξέγειρόν με, κόρη,
καὶ τῷ φωτί σου καταλάμπρυνον.

᾿Εξαποστειλάριον.

Τὸν μέγαν ἀρχιποίμενα
τῆς Θετταλίας ἅπαντες
ἀνευφημήσωμεν ὕμνοις
ὡς ἱερέων καλλονήν,
τῇ μυροβλύτῳ θήκῃ δὲ
προσδραμόντες ἀντλήσωμεν
τὴν χάριν τὴν ἀέναον,
τὴν θεραπεύουσαν πάντων
τῶν προσιόντων τὰς νόσους.

Δ'

ΑΝΕΚΔΟΤΑ ΣΤΙΧΗΡΑ ΤΟΥ ΑΓΙΟΥ ΑΧΙΛΛΙΟΥ ΛΑΡΙΣΗΣ

Ἐκδίδονται ἀπὸ τὸν κώδικα 888, φφ. 4r-6v, τῆς Ἐθνικῆς Βιβλιοθήκης Ἑλλάδος (= cod.).

4r *Στιχηρὰ τοῦ ἁγίου Ἀχιλλίου μητροπολίτου Λαρίσης, ψαλλόμενα τῇ ιε' τοῦ Μαΐου μηνός.*

Ἦχος πλάγιος β'.

Προορισθεὶς ὑπὸ Θεοῦ,
τὰς ἀρετὰς δαβιτικῶς
ἐξήνθησας, ὅσιε,
4v *φοῖνιξ δειχθεὶς / ἐν ταῖς αὐλαῖς Κυρίου*
καὶ ἐξήνθησας ἅπασιν
ἀνατολήν, αἴγλην, θεοφόρε·
τοῦ δὲ Ἀρείου τὸ δυσήνιον θράσος ἐκριζώσας,
τῆς ὀρθοδόξου πίστεως γέγονας ὑπέρμαχος.
Ὅθεν βλυστάνεις ἰαμάτων χαρίσματα,
θεοπρεπῶς ἱερουργῶν·
τὸν σωτῆρα τῶν ὅλων δυσώπει ἀεὶ
τοῦ δωρηθῆναι ἱλασμὸν
τῇ ποίμνῃ σου, ὅσιε,
ὡς ἱεράρχης ἔνδοξος, πάνσοφε Ἀχίλλιε.

Δεῦτε τῶν πιστῶν ἡ ὁμήγυρις
5r *πνευματι/κῶς ἑορτάσωμεν·*
σήμερον γὰρ ὁ κλεινὸς πατὴρ ἡμῶν
ἐν τῇ σεπτῇ αὐτοῦ μνήμῃ
συνεκάλεσεν ἡμᾶς,
διὸ πρὸς αὐτὸν ἀναβοήσωμεν·
χαίροις τῶν ἱερέων ἀγλάισμα,

πανάγιε Ἀχίλλιε,
χαίροις Λαρισαίων τὸ ἐγκαλλώπισμα
καὶ ἀρραγὴς θεμέλιος·
μὴ παύσῃ ἱκετεύειν, πάτερ,
τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην σου.

Ἀπλανῆ σε φωστῆρα
οἱ πιστοὶ γινώσκομεν
καὶ ἱεραρχῶν ἐννομώτατον,
5v *στύλον τῆς ἐ/κκλησίας*
καὶ πέτραν τὴν ἀρραγῆ
τῆς ὀρθοδόξου πίστεως,
πάτερ Ἀχίλλιε·
διὸ ὑπὲρ λαοῦ σου πρέσβευε
τοῦ ἐκ πόθου τελοῦντος τὴν μνήμην σου.

Βλύζει μύρα ἰάσεων
τοῖς προσιοῦσι πιστῶς
ὁ θεῖος τάφος σου,
ἱεράρχα Ἀχίλλιε·
ὅθεν σοι προσπίπτοντες
οἱ συνελθόντες ἐν τῷ σεπτῷ σου ναῷ,
δίδου ἡμῖν σαῖς ἱκεσίαις
τῶν δεινῶν ἀπαλλαγὴν
καὶ λύσιν τῶν δυσχερῶν·
πρόστηθι καὶ ῥῦσαι τὴν ποίμνην σου, σοφέ,
6r *βαρβάρων ἐπιδρο/μῆς,*
βραβεύων ἱλασμῶν καὶ παντοίων ἀγαθῶν·
ἐν σοὶ γὰρ ἀνεθέμεθα τὰς ἐλπίδας,
τὸν Χριστὸν αἴτησαι
τοῦ σωθῆναι ἡμᾶς
τοὺς ἐν πίστει καὶ πόθῳ ὑμνοῦντάς σε.

Τῷ τῶν ἀρετῶν
τιθηνούμενος γάλακτι,

---

35 *τελοῦντος* corr. nos : *τελουντας* cod.
52 *τῷ* corr. nos : *το* cod. 53 *τιθηνούμενος* corr. nos : *τηθηνουμενον* cod.

ἐπὶ τὴν ἀκρώρειαν ἔφθασας,
πάτερ, τῶν ἐντολῶν·
ἀγάπης γὰρ πυρποληθεὶς
τῷ γλυκεῖ καύσωνι,
ἐγκρατείας κανὼν
καὶ πραότητος ἐχρημάτισας·
ἐλέους δὲ πηγὴ
καὶ συμπαθείας γενόμενος ἄβυσσος,
τὸ δυσῶδες τῶν παθῶν ἀπεδίωξας·
6v *ἀλλ' ὀξυτάτη βο/ήθεια*
καὶ ταχεῖα ἀντίληψις
τῶν πιστῶς σε προσκαλουμένων,
κοσμοπόθητε πάτερ Ἀχίλλιε,
πάρεσο καὶ νῦν τῷ πνεύματι
καὶ τῆς τυραννούσης ἡμᾶς ἁμαρτίας
διαφύλαξον καὶ σῶσον,
ὡς πολλὴν παρρησίαν
ἔχων πρὸς Κύριον.

Ε'

ΜΑΝΟΥΗΛ ΚΟΡΙΝΘΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ ΑΝΕΚΔΟΤΟΣ ΚΑΝΟΝΑΣ ΤΟΥ ΑΓΙΟΥ ΑΧΙΛΛΙΟΥ ΛΑΡΙΣΗΣ

Ἐκδίδεται ἀπὸ τὸν κώδικα 512, φφ. 118v-123r, τῆς Μονῆς Ἰβήρων τοῦ Ἁγίου Ὄρους (= cod.).

118v *Μαΐου ιε'. Ἕτερα προσόμοια καὶ κανὼν τοῦ αὐτοῦ Μεγάλου Ῥήτορος εἰς τὸν ἅγιον ἐν ἱεράρχαις Ἀχίλλιον, ἐπίσκοπον Λαρίσης.*

Προσόμοια, ἦχος α'.
Τῶν οὐρανίων ⟨ταγμάτων⟩.

Τὸν παμφαῆ ἱεράρχην
καὶ χριστοκήρυκα
Ἀχίλλιον τὸν μέγαν
ἐν ᾠδαῖς τε καὶ ὕμνοις
τιμήσωμεν συμφώνως
πάντες πιστοί.
Καὶ γὰρ σκεῦος γεγένηται,
δι' ἀρετῶν τῶν ἐνθέων, τῶν ἱερῶν
χαρισμάτων τῶν τοῦ πνεύματος.

Τὸ χαριτόπνουν σοφίας
ὑμνείσθω ὄργανον,
ἡ ἔνθεος κινύρα
ἡ θεόφθογγος σάλπιγξ,
119r *δι' ἧς / τὰ τῶν εἰδώλων*
θεοστυγῆ,
ὥσπερ ἱεριχούντια,
κατεδαφίσθησαν τείχη καὶ τῶν πιστῶν

heirm. προσομοίων CPC 64 — MR II 54
12 κιννύρα cod.

τὰ τεμένη ἀνηγέρθησαν

Τῷ τῆς σοφίας τῆς ὄντως
κρατῆρι τῷ νοητῷ
ὑποβαλὼν τὰ χείλη
καὶ εἰς κόρον ἑλκύσας
νάμα γνώσεως, πάτερ,
μέγας φωστὴρ
ἐκκλησίας γεγένησαι
καὶ τὸν υἱὸν κατ' οὐσίαν τὴν θεϊκὴν
τῷ πατρὶ ἴσον ἐκήρυξας.

Δόξα. ⟨*Ἦχος*⟩ *πλάγιος δ'.*

Ἔχει μὲν ἡ πανεύσημος
τῶν Λαρισαίων μητρόπολις
τὴν τῶν λειψάνων σου θήκην
πλοῦτον ἀδάπανον, πάτερ Ἀχίλλιε,
ὁ δὲ κόσμος ἅπας
τῶν ἀπείρων σου θαυμάτων τὰς ἰάσεις·
ἡ δὲ θεία ψυχή σου,
σὺν ἀγγέλοις Θεῷ παρισταμένη
καὶ τὰς ἐκεῖθεν ἀεὶ εἰσδεχομένη μαρμαρυγάς,
αἰτεῖται ἡμῖν ἱλασμὸν
τοῖς μετὰ πόθον τελοῦσί σου
τὸ ἱερὸν μνημόσυνον.

Ἕτερον ἰδιόμελον. Ἦχος δ'.

Τὸν θεῖον ὑμνήσωμεν Ἀχίλλιον,
119v *τὸν μέγαν φωστῆρα | πιστῶν,*
στόμα πυρίπνουν τοῦ παναγίου Πνεύματος,
βοηθὸν ταχὺν καὶ θερμὸν προστάτην πάντων
τῶν δεομένων αὐτοῦ.
Χριστὸς γὰρ ἐδόξασεν
ἐν οὐρανῷ καὶ ἐν γῇ
ὡς λαμπρὸν δοχεῖον ἀρετῶν ὑπάρξαντα.
Διὸ πάντες συνδράμωμεν

34 *θεῖα* cod.

αὐτοῦ τῇ πανηγύρει,
χαρμονικῶς ἀναμέλποντες·
σῶσον, ἅγιε, τοὺς προστρέχοντας
τῇ θείᾳ σκέπῃ σου
καὶ ῥῦσαι κινδύνων
καὶ παντοίας ἄλλης κακώσεως
τοὺς ὑμνοῦντάς σου τὴν φωταυγῆ πανήγυριν.

Ὁ κανών. Ἦχος α'.

ΩΔΗ Α'. Ἀναστάσεως ἡμέρα.

Ἀναστάσεως ἡμέρα
συνεξέλαμψε νῦν,
μνήμη τοῦ Ἀχιλλίου
τοῦ θεοσόφου, καὶ πιστοὺς
πρὸς πανήγυριν κοινὴν
συνεκάλεσε,
Χριστῷ τῷ παντάνακτι
ἐπινίκιον ᾄδοντας.

Καθαρθεὶς νοὸς τὰς ὄψεις
ἐθεάσω Χριστόν,
φῶς τὸ τοῦ κόσμου, πάτερ,
φῶς τὸ φωτίζον ἀληθῶς
πάντα ἄνθρωπον εἰς κόσμον
ἐρχόμενον,
θεόφρον Ἀχίλλιε,
ἐκκλησίας τὸ καύχημα.

120r *Οὐρανοὶ μὲν καὶ ἡ γῆ*
συνεπαγάλλονται
μνήμῃ τῇ σῇ, παμμάκαρ,
τὰ στίφη δὲ τῶν γηγενῶν,
ἀρετῶν σου τῷ φωτὶ
αὐγαζόμενα,
ᾄδει ἐπινίκιον
τῷ σέ, πάτερ, δοξάσαντι.

53 *ῥῦσαι* cod.
heirm. α' EE 4, n. 6, Joannis

ΩΔΗ Γ'. ⟨Δεῦτε πόμα πίωμεν καινόν.⟩

Δεῦτε πόμα πίωμεν, πιστοί,
τῆς σοροῦ Ἀχιλλίου ἐκπροχεόμενον
καὶ ἰαμάτων πληθὺν
ἑκάστοτε νέμον τοῖς πιστῶς
αὐτῷ προσπελάζουσιν.

Νῦν πάντες πεπλήρωνται χαρᾶς
Λαρισαῖοι, παμμάκαρ, ἐπὶ τῇ μνήμῃ σου
καὶ κόσμος ἅπας αὐτοῖς
συγκροτεῖ, σοφέ, χαρμονικῶς
ὕμνον τὸν ἑόρτιον.

Χθὲς συνενεκροῦτο τῷ Χριστῷ
ὁ σοφὸς καὶ τῳόντι θεῖος Ἀχίλλιος
ἀσκητικαῖς ἀγωγαῖς
καὶ νῦν συνδοξάζεται αὐτῷ
φωτὶ τῆς ἐγέρσεως.

Κάθισμα. ⟨Ἦχος δ'.⟩ Κατεπλάγη ⟨Ἰωσήφ⟩.

Ἀπὸ βρέφους τὸν Θεὸν
ἐπιποθήσας ὁλικῶς
ἀγωγαῖς ἀσκητικαῖς
σαυτὸν ἐκάθηρας, σοφέ,
καὶ διασχὼν ὡς νεφρίην
σαρκὸς τὸ πάχος,
ἐπ' ὄρους ἀρετῶν
ἀναβέβηκας
καὶ πνεύματι Θεῷ
συγγενόμενος,
120v *ὁλολαμπὴς φωστήρ,*
πάτερ, ἐγένου
καὶ νῦν αὐτῷ παριστάμενος
ἡμῶν φωτίζεις

heirm. γ' EE 5, n. 6, Joannis
81 σωροῦ cod.
heirm. καθίσμ. CPC 60 — MR I 233; III 338

τὰς διανοίας
τῶν πιστῶς εὐφημούντων σε.

ΩΔΗ Δ'. ⟨Ἐπὶ τῆς θείας φυλακῆς.⟩

Ἐπὶ τῆς θείας φυλακῆς
τῶν νοημάτων τοῦ νοὸς
τοῦ σοῦ, ἱεράρχα, κατεῖδες
τὸν Υἱὸν ὁμότιμον
Πατρὶ ὡς ὁμοούσιον
καὶ διετράνωσας μέσον συνόδου
καὶ τὴν Ἀρείου μανίαν ἐστηλίτευσας.

Ἄρσεν ὁ λόγος προελθὼν
ἐκ μήτρας τῆς παρθενικῆς,
ἴσος τοῖς βροτοῖς ὡμοιώθη,
ἀλλὰ ὁμοούσιος
ἦν κατὰ τὴν θεότητα
Πατρὶ παναληθῶς τῷ ἀνάρχῳ
ὡς ὁ σοφὸς ἀνεκήρυξεν Ἀχίλλιος.

Ὥσπερ ἐπέτειος ἀστὴρ
ἡ πάμφωτός σου ἑορτὴ
ἦλθε, τὰς ἡμῶν διανοίας,
σοφέ, καταυγάζουσα
καὶ ῥῶσιν συνδιανέμουσα
τοῖς προσιοῦσί σου τῷ τεμένει,
ἱεραρχῶν ἐγκαλλώπισμα Ἀχίλλιε.

Ὁ θεοπάτωρ μὲν Δαβὶδ
προανεκήρυξε σαφῶς
δόξαν ἣν ἐκτήσω, παμμάκαρ,
ὁ θεῖος γὰρ φθόγγος σου
εἰς γῆν ἐξῆλθεν ἅπασαν,
121r *καὶ ῥή/ματα τῆς θεολογίας*
οἷς ἐκκλησίας ἐφώτισας τὸ πλήρωμα.

heirm. δ' EE 5, n. 6, Joannis
135-137 Ps. 18 (19), 4 — Ro. 10, 18

ΩΔΗ Ε'. ⟨'Ορθρίσωμεν ὄρθρου βαθέος.⟩

'Ορθρίσωμεν τὰς ἐναρέτους
τοῦ 'Αχιλλίου
τοῖς πᾶσι κηρύττοντες ἀριστείας
καὶ αὐτοῦ τὸν ἔνθεον
βίον, πιστοί, ζηλώσωμεν,
ἵνα ζωῆς ἐπιτύχωμεν.

Προσέλθωμεν μετ' εὐλαβείας
τῷ ζωηφόρῳ
τεμένει τοῦ μάκαρος 'Αχιλλίου
καὶ περιπτυξώμεθα
σὺν πόθῳ τὴν μορφὴν αὐτοῦ,
ῥῶσιν ψυχῆς κομιζόμενοι.

Τὴν ἄμετρον ταπείνωσίν σου
καὶ εὐποιίαν
πρὸς πλήθη, 'Αχίλλιε, τῶν πενήτων
τίς λόγος ἐκφράσειε;
δι' ὧν Χριστὸν ἐκέρδησας,
τὸν γλυκασμὸν τὸν αἰώνιον.

ΩΔΗ ϛ'. ⟨Κατῆλθες ἐν τοῖς κατωτάτοις.⟩

Κατῆλθες ἐκ συνόδου ὡς πάλαι Μωσῆς
τῷ ποιμνίῳ σου, σοφέ,
ἐγχειρίζων ὡς πλάκα τὸ θεῖον σύμβολον,
τὸ τῆς πίστεως,
121v *ἐν ᾧ ἴσον τῷ | Πατρὶ*
τὸν Υἱὸν καταγγέλλεις.

Φυλάξας ἀμείωτον ὅρον, σοφέ,
τὸν τῆς πίστεως καλῶς
καὶ τελέσας τὸν δρόμον πρὸς φῶς ἀνέσπερον,
ἐξεδήμησας
καὶ Τριάδι τῇ σεπτῇ

heirm. ε' EE 5, n. 6, Joannis
heirm. ϛ' EE 5, n. 6, Joannis

νῦν παρίστασαι χαίρων.

Σῶτερ, ὁ τὸ αἷμα θεμέλιον θεὶς
ἐκκλησίας τῆς σεπτῆς,
πρόφθασον, μὴ παρίδῃς αὐτὴν ἐκλείπουσαν,
ἀλλ' ἀνόρθωσον
πλήθει σου δυσωπηθεὶς
τοῦ ἀπείρου ἐλέους.

Κοντάκιον. Ἦχος δ'. 'Επεφάνης ⟨σήμερον⟩.

Τῶν πατέρων, ἔνδοξε, τῶν ἐν Νικαίᾳ
ὀπαδός, 'Αχίλλιε, διὰ πυρὸς ἀναφανεὶς
καὶ καταισχύνας τὸν Ἄρειον
ἴσον τὸν Λόγον Πατρὶ ἀνεκήρυξας.

Ὁ οἶκος

Ὁ τῇ ἐπιπνοίᾳ καὶ χάριτι τοῦ σοῦ συναϊδίου
καὶ ὁμοδυνάμου παρακλήτου φωτίσας
τοὺς ἱεροὺς καὶ θείους σου μαθητὰς
καὶ ἐξ ἁλιέων καὶ ἰδιωτῶν σοφοὺς καὶ θεολόγους
ἀπεργασάμενος, Χριστὲ ὁ Θεός,
αὐτὸς καὶ νῦν, τῇ ἐμφύτῳ σου
δυσωπούμενος ἀγαθότητι,
καταύγασον κἀμοῦ τὸν νοῦν,
τὸν μυρίοις τεθολωμένον ἁμαρτήμασι
122r *καὶ τῇ ἀχλύι σκοτούμενον | τῶν παθῶν,*
ἵνα ἐξισχύσω ὑμνῆσαι
τὸν σὸν θεράποντα 'Αχίλλιον,
τῶν ἐν Νικαίᾳ σε δοξασάντων πατέρων
τὸ σεμνολόγημα.
Ὅλος γάρ σοι τελῶν ἱερωμένος
καὶ ζῆλον ἔμπλεως θεῖον,
Ἄρειον τὸν κατὰ τῆς σῆς
ἀφηνιάσαντα δόξης κατῄσχυνε
καὶ φωτοφόρῳ καρδίᾳ καὶ γλώττῃ
ἴσον κατ' οὐσίαν τὸν Λόγον Πατρὶ ἀνεκήρυξεν.

heirm. κοντακ. HR 169 — MR III 150, 163, 177, 207, 219
182 ἀλιέων cod.

ΩΔΗ Ζ'. ⟨῾Ο παῖδας ἐκ καμίνου ῥυσάμενος.⟩

῾Ο παῖδας ἀπαλλάξας φλογώσεως
σὲ πειρασμῶν ῥύεται
καὶ ἐφ' ὑψηλῆς
λυχνίας τίθησι, σοφέ,
καταυγάζειν λαὸν τὸν χριστώνυμον·
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
Θεὸς καὶ ⟨ὑπερένδοξος⟩.

Γυναῖκες μετὰ πόθου προστρέχουσαι
τῷ θείῳ τεμένει σου,
νόσων καὶ δεινῆς
ἁμαρτημάτων ἐνοχῆς
ἀπαλλάττονται, πάτερ 'Αχίλλιε,
τὸν μόνον εὐλογητὸν ἀνυμνοῦσαι
Χριστὸν τὸν ὑπερένδοξον.

῾Ως ὄντως ἱερός σου καὶ πάντιμος
ὁ βίος, 'Αχίλλιε·
καὶ γὰρ ἀρεταῖς
καθαγιασθεὶς τοῖς θεουργοῖς
τοὺς πιστοὺς ὑμνεῖν πάντας ἐδίδαξας
122v τὸν μόνον | εὐλογητὸν τῶν πατέρων
Θεὸν τὸν ὑπερένδοξον.

Θανάτῳ τῶν φθαρτῶν τὰ αἰώνια
ἀντηλλάξω, πάντιμε,
καὶ νῦν ἐν Θεῷ
ζῶν ἀιδίως, τοὺς πιστῶς
ἀνυμνοῦντας φωτίζεις, 'Αχίλλιε,
τὸν μόνον εὐλογητὸν τῶν πατέρων
Θεὸν τὸν ⟨ὑπερένδοξον⟩.

ΩΔΗ Η'. ⟨Αὕτη ἡ κλητή.⟩

Αὕτη ἡ φαιδρὰ
καὶ ἑόρτιος μνήμη

heirm. ζ' EE 5, n. 6, Joannis
201 ἐφυψηλῆς cod.
heirm. η' EE 5, n. 6, Joannis

τοῦ σοφοῦ 'Αχιλλίου,
ἐν ᾗ πιστῶν αἱ χορεῖαι
σὺν πολλῇ χαρμονῇ
συνελθοῦσαι, τὸν αὐτὸν στεφανώσαντα
Χριστὸν ἀνυμνοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

Δεῦτε μουσουργῶν
καὶ λογάδων τὰ στίφη
τὴν τοῦ πνεύματος λύραν,
τὸ τῶν χαρίτων δοχεῖον,
τῆς σοφίας βυθὸν
καὶ Τριάδος τῆς σεπτῆς τὸν ὑπέρμαχον,
'Αχίλλιον ὕμνοις
αἰνέσωμεν συμφώνως.

῎Ανωθεν ἀοράτως
ἔπιδε, πάτερ
'Αχίλλιε τρισμάκαρ·
ἅπαντα γὰρ ἥκασί σοι
ἐκ δυσμῶν καὶ βορρᾶ
καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου
ἐν σοὶ εὐλογοῦντα
Χριστὸν εἰς τοὺς αἰῶνας.

⟨Τριαδικόν.⟩

Πάτερ παντοκράτορ,
Υἱὲ καὶ θεῖον Πνεῦμα,
123r ἡ συμφυὴς | ταυτότης
καὶ ἀμερὴς τῇ οὐσίᾳ
μεριστὴ δὲ
ταῖς ὑποστάσεσι, Θεὸς εἷς ἀίδιος,
σὲ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ΩΔΗ Θ' ⟨Φωτίζου, φωτίζου.⟩

Φωτίζου, φωτίζου
ἡ ἐκκλησία τοῦ Θεοῦ
τὸν Ἀχίλλιον πόθῳ
ἐν κόλποις κατέχουσα,
τὸν ὑπὲρ σοῦ
γενναιότατα,
οἷα σοφόν,
διηγωνισμένον
κατὰ πασῶν τῶν αἱρέσεων.

Ὦ θείας, ὤ φίλης,
ὤ γλυκυτάτης σου φωνῆς,
δι' ἧς, μάκαρ, τὸν Λόγον
τῷ Πατρὶ ὁμότιμον
κατὰ τὴν φύσιν
ἐκήρυξας
καὶ τοῦ δεινοῦ
Ἀρείου τὴν πλάνην
πυρὶ τῶν λόγων ἐνέπρησας.

Ὦ Πάσχα τὸ θεῖον
καὶ ἱερώτατον, Χριστέ,
ταῖς τοῦ σοῦ Ἀχιλλίου
ἱκεσίαις δίδου μοι
κατὰ παθῶν
ἐπικράτειαν
καὶ φωτισμόν,
ἵνα σου δοξάζω
ἀεὶ τὸ πλούσιον ἔλεος.

Ἐξαποστειλάριον. Σαρκὶ ὑπνώσας ὡς ⟨θνητός.⟩

Σαρκὶ Χριστῷ σταυρωθεὶς
καὶ νεκρωθεὶς πατὴρ ἡμῶν,
αὐτῷ τε συνεξανέστης
καὶ συνευφραίνῃ τῇ αὐτοῦ
ἀναστάσει, Ἀχίλλιε,
πάντων τῶν σὲ τιμώντων
φωτίζων τὰς διανοίας.

heirm. θ' ΕΕ 5, n. 6, Joannis
heirm. ἐξαποστ. CPC 112 — PeR 11, 108, 160, 228, 276, 303

ϛ'

ΑΝΑΣΤΑΣΙΟΥ ΓΟΡΔΙΟΥ ΑΝΕΚΔΟΤΗ ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΑΧΙΛΛΙΟΥ ΛΑΡΙΣΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΟΥ ΤΡΙΚΚΗΣ

Ἐκδίδεται ἀπὸ τὸν κώδικα 619, φφ. 331r-338r, τῆς Μονῆς Ἰβήρων τοῦ Ἁγίου Ὄρους (= cod.).

331r *Ἀκολουθία τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἱεραρχῶν Ἀχιλλίου Λαρίσης καὶ Οἰκουμενίου Τρίκκης, πονηθεῖσα Ἀναστασίῳ ἱερομονάχῳ τῷ ἐξ Ἀγράφων, ἀξιώσει τοῦ ἀρχιπρεσβυτέρου Τρίκκης Κωνσταντίνου κατὰ τὸ ͵αχπγ' ἔτος τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ λόγου. Ψάλλεται δὲ ἐν μηνὶ Μαΐω κ'; ἑσπέρας.*

Εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν στιχηρὰ τῆς τυχούσης ἑορτῆς γ' καὶ τῶν ἁγίων γ'.

Ἦχος δ'. Πρὸς τό: Ὡς γενναῖον ἐν μάρτυσιν.

Εὐσεβῶς δογματίσαντες
καὶ συμφώνως κηρύξαντες
τῆς Τριάδος, ἅγιοι,
τὸ μυστήριον
ἴσον τὸν λόγον ἐδείξατε
Πατρί τε καὶ Πνεύματι·
διὰ τοῦτο καὶ ἡμεῖς,
τοῖς σοφοῖς ὑμῶν δόγμασι
καθυπείκοντες,
τὴν σεπτὴν ὑμῶν μνήμην
ἐκτελοῦμεν,
ὦ Ἀχίλλιε τρισμάκαρ
καὶ Οἰκουμένιε πάνσοφε.

Τῆς συνόδου γενόμενος
σὺ τῆς πρώτης ὑπέρμαχος,
θεοφόρε πάτερ

heirm. στιχηρῶν CPC 70 — MR IV 363
8 *ὑμῶν* corr. nos : *ἡμῶν* cod.

μάκαρ Ἀχίλλιε,
τὴν τοῦ Ἀρείου κατέλυσας
εἰς τέλος δυσσέβειαν
καὶ ὡς μέλος σεσηπὸς
ἐκκλησίας ἐξώθησας
τοῦτον, ἔνδοξε,
συνῳδὰ τοῖς πατράσι
καὶ διδάσκων
καὶ φρονῶν πᾶσι καὶ πράττων
ὡς θεηγόρος θεόληπτος.

331v *Οἰκουμένης ἀγλάισμα*
καὶ τῆς Τρίκκης τὸ καύχημα
εὐφημείσθω σήμερον
θείοις ᾄσμασιν
ὁ θαυμαστὸς Οἰκουμένιος,
θαυμάτων ἡ ἄβυσσος
καὶ τῶν θείων δωρεῶν
τὸ ταμεῖον τὸ ἄσυλον
τὸ τοῦ πνεύματος
οἰκητήριον, ἅμα
Ἀχιλλίῳ
τῆς Λαρίσης τῷ φωστῆρι
καὶ θεηγόρῳ πατρὶ ἡμῶν.

Δόξα. Ἰδιόμελον. Ἦχος δ'.

Λάρισα καὶ Τρίκκη συνελθοῦσαι
σήμερον εἰς ἕν,
εὐφήμοις φωναῖς τοὺς κλεινοὺς ἡμῶν φωστῆρας
καὶ ποιμένας ἀληθεῖς,
Οἰκουμένιον τὸν σοφὸν καὶ Ἀχίλλιον τὸν θεῖον,
ἀξιοχρέως ἐπαινέσατε·
τοῦ πρώτου γὰρ οὗτοι καὶ ἀδύτου φωτὸς
ταῖς ἀκτῖσιν αὐγασθέντες,
δεύτερα φῶτα τῇ μεθέξει τούτου
τῆς ἐκκλησίας ἐχρημάτισαν
καὶ τῶν πιστῶν τὰ συστήματα κατεφώτισαν,

ἡμῶν δὲ μᾶλλον ἄγρυπνοι
καὶ μετὰ θάνατον ὄντες φύλακες
ἐξ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν
ταῖς πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν πρεσβείαις
ἀσινεῖς ἡμᾶς διατηροῦσι
καὶ ἡμῖν αἰτοῦνται παρ' αὐτοῦ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς ἑορτῆς. Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον καὶ ἀναγνώσματα, ζήτει Δεκεμβρίου ς'. Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς

Χαίροις ἡ τῶν φωστήρων δυάς,
τὸ θεῖον φέγγος
μηδαμόθεν συγκρύπτουσα
φωστήρων ἀψύχων δίκην,
332r *ἀλλὰ ψυχαῖς τῶν πιστῶν*
ἐξαπλοῦσα τοῦτο
καὶ διώκουσα
κακίας τὴν ζόφωσιν
καὶ παθῶν ἀμαυρότητα,
συνισταμένην
ἐκ γηΐνου φρονήματος,
καὶ μετάνοιαν,
τῆς ψυχῆς τὸ διάσωσμα,
πείθουσα κατασπάζεσθαι,
παμμάκαρ Ἀχίλλιε
καὶ Οἰκουμένιε, ταύτας
καὶ τὸν δοξάσαντα Κύριον
ἡμᾶς μεγαλύνειν,
τὸν παρέχοντα τῷ κόσμῳ
τὸ μέγα ἔλεος.

Στίχος: Τὸ στόμα μου λαλήσει σοφίαν.

Φέγγει τῶν ἀρετῶν αὐγασθείς,
ἄλλος ἐφάνης
ἐπὶ γῆς, πάτερ, ἥλιος
φωτίζων ταῖς σαῖς ἀκτῖσι

---

51 *ὑμῶν* cod. 54 *ὑμῶν* cod. 56 *ὑμῖν* cod.
heirm. στιχηρῶν CPC 74 — MR II 376
74 *ὑμᾶς* cod.

τοὺς ἀγνωσίας κρυμῷ
περιψυχουμένους
καὶ ῥυόμενος
θανάτου καὶ ἄφθαρτον
καὶ φαιδρὸν περιβόλαιον
τούτους ἐνδύων,
ἱεράρχα Ἀχίλλιε,
χορηγῶν αὐτοῖς
δαψιλῶς, ἀξιάγαστε,
πίστεως τὴν ἐπίγνωσιν,
δι' ἧς πρὸς ἀνέσπερον
αἴγλην φωτὸς ὁδηγοῦνται
καὶ αἰωνίαν ἀνάπαυσιν,
Χριστὸν ἀνυμνοῦντες
τὸν παρέχοντα τῷ κόσμῳ
τὸ μέγα ἔλεος.

Στίχος: Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην.

Τέσσαρσιν ἀφωρίσθη ἀρχαῖς
βουλήσει θείᾳ,
Οἰκουμένιε πάνσοφε,
πηγὴ ἡ ἐν παραδείσῳ·
τὸ δὲ σεπτὸν ἀληθῶς
καὶ πολύτιμόν σου,
πάτερ, λείψανον
μυρίοις ἐν ῥύαξιν
ἀφωρίσθη, πανόλβιε,
ὕδατος ζῶντος
τοὺς αὐτῷ μετὰ πίστεως
προσπελάζοντας
ἐμπιπλῶν ἀληθέστατα·
ὅθεν σου τὴν πανίερον
τιμῶμεν πανήγυριν
καὶ μετὰ πόθου βοῶμεν,
μὴ διαλίπῃς πρὸς Κύριον
λιταῖς σου πρεσβεύειν
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

332v *Δόξα. Ἦχος β'.*

Τοῦ τῆς θείας σοφίας κρατῆρος
εἰς ἑαυτοὺς τὸ νάμα μετοχετεύσαντες
καὶ πνεύματος ἁγίου ἐμπλησθέντες,
τὰς ὑπ' αὐτοῦ πιστευθείσας ὑμῖν ἐκκλησίας
θεοφιλῶς καὶ θεαρέστως ἐποιμάνατε·
διὸ καὶ νῦν, ἱεράρχαι πανσεβάσμιοι,
Καππαδοκίας τὰ τερπνὰ βλαστήματα
καὶ τῆς Ἑλλάδος οἱ ὑπέρλαμπροι φωστῆρες,
Οἰκουμένιε καὶ Ἀχίλλιε,
τῶν θείων ἀγαθῶν τρανότερον
ἐν οὐρανοῖς ἀπολαύοντες,
πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἀπολυτίκιον. Ἦχος γ'.
⟨Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις.⟩

Ζῆλον ἔνθεον ἀναλαβόντες,
δόγμα ἄθεον καταβαλόντες,
ὀρθοδοξίας ἀνεδείχθητε πρόβολοι
καὶ ἐκκλησίας ἀήττητοι πρόμαχοι,
σὺν Ἀχιλλίῳ σοφὲ Οἰκουμένιε,
παναοίδιμοι,
Χριστῷ τῷ Θεῷ πρεσβεύσατε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν ὄρθρον, μετὰ τὴν α' στιχολογίαν, κάθισμα τοῦ ἁγίου Ἀχιλλίου. Ἦχος α'.

Τὸν τάφον σου, σωτήρ,

Ἀχίλλιε σοφέ,
τῆς Τριάδος ὁ μύστης
καὶ κῆρυξ ἀληθής,
παρεστὼς σὺν ἀγγέλοις,
αὐτῇ καὶ μελῴδημα

---

heirm. ἀπολυτικίου ER 187 — HR 145 — MR I 522
heirm. καθίσματος (Ἀχίλλιε σοφέ ...) CPC 54 — PeR 59, 75, 79 — TR 729

προσφωνῶν τὸ τρισάγιον,
θείαν ἔλλαμψιν
καὶ νῦν ἡμῖν καταπέμψαι
δυσωποῦμέν σε,
ἵνα τὴν θείαν σου μνήμην
ἀξίως τιμήσωμεν.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς οἵας ἂν τύχῃ. Μετὰ δὲ τὴν β' στιχολογίαν κάθισμα τοῦ ἁγίου Οἰκουμενίου. Ἦχος πλ. α'.

333r *Τὸν συνάναρχον ⟨λόγον.⟩*

Οἰκουμένιον πάντες
τὸν θεορρήμονα
δεῦτε στέψωμεν ὕμνοις
καὶ πρὸς αὐτὸν βοήσωμεν,
οἰκουμένης ὁ φωστὴρ
ὁ λαμπρότατος
ποίμνην τὴν σὴν ἐκ μηχανῆς
καὶ πονηρᾶς ἐπιβουλῆς
παντοίας τοῦ βροτοκτόνου
περίσωζε σαῖς πρεσβείαις·
σὺ γὰρ ὑπάρχεις αὐτῆς τὸ στήριγμα.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Μετὰ δὲ τὸν πολυέλεον κάθισμα. Ἦχος δ'.
Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως.

Βίῳ καὶ λόγῳ καθαρῶς ἡγνισμένοι
τῆς ἐκκλησίας τοῦ Χριστοῦ ἱεράρχαι
πανευκλεεῖς γεγόνατε μακάριοι
πάσας ἐξαλείψαντες
τὰς βεβήλους αἱρέσεις,
πάνσοφε Ἀχίλλιε σὺν τῷ Οἰκουμενίῳ,
καὶ τῆς Τριάδος δόγμα τὸ σεπτὸν
εἰς πάντα κόσμον ἐνθέως κηρύξαντες.

Καὶ τὸ τῆς ἑορτῆς. Οἱ ἀναβαθμοί. Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν. Στίχος: Ἀκούσατε ταῦτα. Πᾶσα πνοή. Εὐαγγέλιον τοῦ Χρυσοστόμου. Ὁ ν'. Δόξα. Ταῖς τῶν διδασκάλων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἰς τὸ Ἐλέησόν με ὁ Θεός, τὸ εἰς τὸν στίχον. Δόξα. Ἦχος β'.

---

heirm. καθίσματος (*Οἰκουμένιον πάντες ...*) CPC 87 — HR 230 — PaR 364
heirm. καθίσματος (*Βίῳ καὶ λόγῳ...*) CPC 59 — HR 29, 84 — MR I 162, 181 — PeR 258.

Ὁ κανὼν τῆς ἑορτῆς καὶ τῶν ἁγίων.
Ποίημα Ἀναστασίου. Ἦχος πλ. δ'.

ΩΔΗ Α'. Ἁρματηλάτην Φαραώ.

Ἀ*νευφημῆσαι προθεμένῳ σήμερον*
ὑμῶν, πανεύφημοι,
τὴν ἱερὰν μνήμην,
λόγον μοι ἐμπνεύσατε
σοφίας τῆς ἀμείνονος,
ἧς αὐτοὶ μετασχόντες,
τοὺς λόγους πάντας ἐλύσατε
τῶν αἱρετιζόντων ἐν πνεύματι.

333v **Χ***άριτι θείᾳ λαμπρυνθείς, θεσπέσιε*
πάτερ Ἀχίλλιε,
φωτοειδὴς ὤφθης
λύχνος ἐν τοῖς πέρασι
φωτίζων τὰ συστήματα
τῶν πιστῶν καὶ πρὸς τρίβους
ὀρθοδοξίας πορεύεσθαι
ταῦτα διευθύνων σοῖς δόγμασι.

Ἱ*εραρχίᾳ σεαυτὸν ἐκόσμησας*
καὶ ταύτης γνήσιος
ἀναδειχθεὶς ὄντως
ὑπηρέτης, ἔπλησας
τὴν οἰκουμένην ἅπασαν,
Οἰκουμένιε πάτερ,
θείων ναμάτων τοῦ πνεύματος,
ὧν κατατρυφῶντες ὑμνοῦμέν σε.

Θεοτοκίον.

Λ*όγον τὸν θεῖον ἀπορρήτως τέτοκας,*
πάναγνε δέσποινα,
τὸν τῷ Πατρὶ ὄντα
ἴσον καὶ τῷ Πνεύματι,
ὡς ἡ δυὰς ἐκήρυξεν
εὐσεβῶς τῶν πατέρων,

---

heirm. α' EE 219, n. 314, Joannis

ἣν νῦν τιμῶμεν ἐν ᾄσμασι
καὶ σέ, Θεοτόκε, δοξάζομεν.

ΩΔΗ' Γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Λόγων ἐνθέων ἀστραπαῖς
καταβροντήσαντες πᾶσαν
τὴν Ἀρείου διελύσατε πλάνην
καὶ λαμπτῆρες φωταυγεῖς
τῆς ἐκκλησίας, πάνσοφοι,
καὶ ἀληθεῖς ποιμένες
ἀξίως ἐναπεφάνθητε.

Ἔλαμψεν ὄντως ἡ φαιδρὰ
καὶ φωτοφόρος ἡμέρα
τῆς σεπτῆς σου, πάτερ, μνήμης καὶ πάντας
προσκαλεῖται συνδραμεῖν
τῷ σῷ ναῷ καὶ χείλεσιν
ἁγνοῖς καταφαιδρῦναι
ταύτην, θεόφρον Ἀχίλλιε.

Ἴχνεσι τοῖς τοῦ ἱεροῦ
καὶ θεοφόρου, παμμάκαρ,
Ἀχιλλίου ἀσφαλῶς ἐπιβαίνων,
Οἰκουμένιε, διπλῆν
αὐτοῦ τὴν χάριν εἴληφας
ὡς Ἐλισσαῖος ἄλλος
τὴν Ἠλιοὺ διὰ πνεύματος.

334r *Θεοτοκίον.*

Ὢ τῶν θαυμάτων τῶν ἐν σοὶ
γεγενημένων, παρθένε·
τὸν Θεὸν γὰρ ἐσωμάτωσας μόνη,
τὸν τὴν κτίσιν τῇ αὐτοῦ
βουλήσει σωματώσαντα
καὶ σὲ παρθένον αὖθις
μετὰ τὸν τόκον φυλάξαντα.

---

heirm. γ' EE 219, n. 314, Joannis

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κωνσταντίνῳ τῷ πιστῷ
καὶ ὀρθοδόξῳ βασιλεῖ
πεισθέντες, γνῶσιν ἐκ Θεοῦ
λαβόντι θείαν συνέλευσιν
συγκροτῆσαι
πατέρων ἱερῶν
ἐν τῇ Νικαίᾳ τὸ πρίν,
αὐτίκα καὶ ἡμεῖς,
ἐκ τῆς Ἑλλάδος ὁμοῦ
συνελθόντες,
θαύμασι καὶ λόγοις
ἐν θεοπνεύστοις ἐλύσατε
τὴν τοῦ Ἀρείου κακοδοξίαν
καὶ κλέος μέγιστον ἤρατε.

Εἶτα τῆς ἑορτῆς.

ΩΔΗ Δ'. Σύ μου, Χριστέ, Κύριος.

Ἅμα ἐν γῇ
πολιτευθέντες, μακάριοι,
ἅμα πάλιν
καὶ νῦν τὸ πολίτευμα
ἐν οὐρανοῖς ἔχοντες ἀεί,
ἅμα τοὺς τιμῶντας
ὑμῶν τὴν μνήμην, δεόμεθα,
τηρεῖτε μέχρι τέλους
ἐν μιᾷ συμφωνίᾳ,
τῇ τῆς πίστεως ἣν ἐκηρύξατε.

Μὴ πειραθεὶς
παθῶν ἰλύος τῶν κάτωθεν,
ἐπαξίως
ἄνωθεν κατῆλθέ σου
τῇ κεφαλῇ πνεῦμα τὸ σεπτὸν
καὶ τῶν χαρισμάτων
τὴν ἀφθονίαν ἐπλούτησας,

---

heirm. καθίσματος CPC 60 — MR I, 233; III, 388
heirm. δ' EE 219, n. 314, Joannis

ἡνίκα συνετάγης
τῷ χορῷ τῶν ποιμένων,
Οἰκουμένιε πάτερ ἀοίδιμε.

Ἄνωθεν *σὺ*
τὴν θείαν χάριν ἑώρακας
κατιοῦσαν
ἁγνοτάτοις ὄμμασι
ἐν τῇ τελετῇ τῆς χειροθεσίας,
Ἀχίλλιε, τοῦ τρισμάκαρος
καὶ σοῦ, σοφέ, γνησίου
φοιτητοῦ καὶ ποιμένος
τοῦ τῆς Τρίκκης ἐνθέου
συστήματος.

334ᵛ *Θεοτοκίον.*

Ὅλη *ἐν σοὶ*
τῶν χαρισμάτων τοῦ πνεύματος
ἡ πλημμύρα,
πάναγνε κατῴκησε
καὶ διὰ σοῦ ἐν τοῖς ὑπὲρ νοῦν
κατηξιωμένοις
τὸ σὸν νοῆσαι μυστήριον·
συνέλαβες γὰρ λόγον
τὸν πρὸ πάντων αἰώνων
ἐκ Πατρὸς γεννηθέντα καὶ τέτοκας.

ΩΔΗ Ε΄. Ἱνατί με ἀπώσω.

Ἱδρυμένοι *ἐν πέτρᾳ*
τῇ τῆς εὐσεβείας, ἱδρύματα, πάνσοφοι,
τὰ τῆς ἀσεβείας
ζήλῳ θείῳ εἰς τέλος καθείλετε
καὶ τὴν ἐκκλησίαν
τὴν τοῦ Χριστοῦ ταῖς θεοπνεύστοις
διδαχαῖς ἡμῶν κατεφωτίσατε.

Κατὰ *τῶν ἀντιπάλων*

heirm. ε΄ EE 219, n. 314, Joannis

ξίφος τεθηγμένον ἐγένου, Ἀχίλλιε,
καὶ ῥομφαία τούτους
κατασφάττουσα θείῳ πνεύματι,
συνήγορον ἔχων
καὶ ὀπαδὸν τὸν σὸν ἐν πᾶσιν
Οἰκουμένιον τὸν ἀξιάγαστον.

Ὁ *χορὸς τῶν ἀγγέλων*
νῦν συνεορτάζει ἡμῖν ἐν τῇ μνήμῃ σου,
πάτερ ἱεράρχα
Οἰκουμένιε, καὶ συνευφραίνεται
ἐκκλησία πᾶσα
τῶν πρωτοτόκων ᾗ συνήφθης,
εὐφροσύνης ἀλήκτου πληρούμενος.

Θεοτοκίον.

Ὑπελθών *σου τὴν μήτραν*
λόγος οὐράνιος, μήτηρ ἀνύμφευτε,
καὶ ἐν σοὶ σκηνώσας,
τὸ ἡμέτερον ὅλον ἀνείληφε
καὶ θεώσας τοῦτο
ἐν ἑαυτῷ πρὸς τὸ ἀρχαῖον
ἐπανήγαγεν αὖθις ἀξίωμα.

ΩΔΗ ς΄. Ἱλάσθητί μοι, σωτήρ.

Μανίαν *τοῦ δυσσεβοῦς*
Ἀρείου κατετροπώσατε
ἔργοις καὶ λόγοις ὑμεῖς
καὶ νῦν κλέος ἄπαυστον
ἀξίως εἰλήφατε
παρὰ τοῦ σωτῆρος,
ἱεράρχαι παμμακάριστοι.

Ἐγλύκανας *τὰς ψυχὰς*
τῶν ὀρθοδόξων τῷ λόγῳ σου,
ἐμώρανας τὰς κενὰς

heirm. ς΄ EE 220, n. 315, Joannis Damasceni

ζητήσεις τῷ βίῳ σου,
πάτερ Οἰκουμένιε,
τῶν κακοδοξούντων,
Ἀχιλλίῳ συνεπόμενος.

335r **Ν**αὸς τῆς ζωαρχικῆς,
πάτερ, Τριάδος γενόμενος,
τοὺς τῶν εἰδώλων ναοὺς
εἰς γῆν κατηδάφισας,
Ἀχίλλιε, ὅσιε,
καὶ ναοὺς εἰργάσω
θεοτεύκτους διὰ πίστεως.

Θεοτοκίον.

Ἰδού σε πᾶσαι σαφῶς
νῦν γενεαὶ μακαρίζουσι,
παρθενομῆτορ ἁγνή,
καθὼς προεφήτευσας·
ἐκ σοῦ γὰρ ἐπέφανε
τῆς δικαιοσύνης
ὁ φαιδρὸς ἐν κόσμῳ ἥλιος.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Οἰκουμένης ὤφθησαν θεῖοι λαμπτῆρες
ὁ σοφὸς Ἀχίλλιος καὶ Οἰκουμένιος ὁμοῦ,
τὴν ἐκκλησίαν κοσμήσαντες
ἔργοις καὶ λόγοις, δι' ὧν ἐδοξάσθησαν.

Ὁ οἶκος.

Ἱεραρχῶν τὴν θαυμαστὴν καὶ θείαν ξυνωρίδα,
Ἀχίλλιον Λαρίσης τὸν ἄριστον ποιμένα
καὶ Οἰκουμένιον, τὸ φαιδρὸν τῆς Τρίκκης ἐγκαλλώπισμα,
τίς ἂν ἀξίως ἐξίκοιτο λόγος εὐφημῆσαι
καὶ στεφάνοις ἐγκωμίων
ἀναδῆσαι ταύτην εὐπρεπῶς;
Διανοίας ὑψηλῆς εἶναι δεῖ

heirm. κοντακίου HR 169 — MR III 150, 163, 177, 207, 219

καὶ τὰ θεῖα φρονούσης ἀποκύημα
καὶ πόρρω οὔσης τῆς ἐμῆς,
τῆς πάθεσιν ὅλως προστετηκυίας
καὶ τῇ ἀχλύι τῶν γηίνων
ἐννοιῶν ἐπισκοτουμένης·
οὗτοι γὰρ οἱ θεῖοι γηίνων
πάσης προσπαθείας ἀπαλλοτριωθέντες,
φρόνημα οὐράνιον ἐκτήσαντο
καί, μετὰ σώματος ὄντες,
ἑαυτοὺς τοῖς ἀσωμάτοις συγκατέμιξαν,
τὴν ἐκκλησίαν κοσμήσαντες
ἔργοις καὶ λόγοις, δι' ὧν ἐδοξάσθησαν.

Συναξάριον.

335r *Τῷ αὐτῷ μηνὶ εἰκοστῇ μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἀχιλλίου ἀρχιεπισκόπου Λαρίσης καὶ Οἰκουμενίου Τρίκκης τῶν θαυματουργῶν.*

⟨Στίχοι.⟩

Λαλεῖ Λάρισα σὰς ἀριστείας ξένας,
μνήμην ἔχουσα καὶ θανόντος σου, πάτερ.

Οἰκουμένην ἔπλησε θείων θαυμάτων
Οἰκουμένιος οἷα φῶς οἰκουμένης.

Τούτων ὁ μέγας Ἀχίλλιος, Καππαδόκης ὢν τὸ γένος, Λαρίσης μητροπολίτης κατὰ τὸν καιρὸν τοῦ Μεγάλου Κωνσταντίνου ἐχρημάτισε καὶ τὸν δυσσεβῆ Ἄρειον ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ πρώτῃ συνόδῳ καθελὼν ἔργοις καὶ λόγοις, ἐπιστρέψας ἐν Λαρίσῃ καὶ πάμπολλα θαύματα κατεργασάμενος, τὸν βίον ἐν εἰρήνῃ καταλύει.

Ὁ δέ γε θεῖος φωστὴρ Οἰκουμένιος, ἀδελφιδοῦς τε καὶ ὀπαδὸς τοῦ μεγάλου Ἀχιλλίου ὑπάρχων, Τρίκκης ἐπίσκοπος ὑπ' αὐτοῦ προχειρίζεται καὶ τὸν ἀποστάτην Ἄρειον ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ θαύμασί τε καὶ δόγμασι ἀπελέγξας καὶ ναοὺς εἰδωλικοὺς καταστρεψάμενος καὶ ἄλλα θαύματα μυρία κατεργασάμενος, ὡς ἡ περὶ αὐτὸν ἱστορία δηλοῖ, ἐν γήρει καλῷ πρὸς τὴν ἀτελεύτητον ζωὴν μεταβαίνει, νοσημάτων παντοίων ἀλεξιτήριον τὸ πολύολβον αὐτοῦ σῶμα τοῖς Τρικκαεῦσι

357 *ἑαυτοὺς* corr. nos : *ἑαυτοῖς* cod.
12 *Τρικκακεῦσι* cod.

καταλιπών· ὧν ταῖς πρεσβείαις ἐλεήσοι καὶ σώσοι ἡμᾶς ὁ Θεὸς ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

ΩΔΗ Ζ′. *Θεοῦ συγκατάβασιν.*

336r **Ὁ** *λόγος, Ἀχίλλιε,*
τῆς σῆς σοφίας πᾶσαν κατέπληττε
συμμορίαν ἀθέων
καὶ πρὸς τοῦ ὄντως Θεοῦ ἐπίγνωσιν
ἀνεκαλεῖτο καὶ ψάλλειν ἐδίδασκεν,
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Νοὸς *καθαρότητι*
καὶ διανοίας τῆς σῆς ὀξύτητι,
Οἰκουμένιε μάκαρ,
Θεῷ τῷ ζῶντι σὺ προσωμίλησας
καθάπερ πάλαι Μωσῆς ὁ θεόληπτος·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Θεός *σε τῷ θαύματι*
συνόδου μέσον λίαν ἐδόξασεν,
Οἰκουμένιε πάτερ·
ἐκ γὰρ ἀγόνου πέτρας ἀνέβλυσας
πλῆθος ὑδάτων καὶ ψάλλων ἐκραύγαζες,
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐκαίνισεν, *ἄχραντε,*
τὴν ἡμετέραν φύσιν ὁ Κύριος,
ἐπὶ σὲ οὐρανόθεν
ἐλθὼν ὡς ὄμβρος ὃν ἐθεάσατο
συμβολικῶς Γεδεὼν καὶ ἐκραύγαζεν,
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

---

heirm. ζ′ ΕΕ 219, n. 314, Joannis
367 *ὄντως* corr. nos : *ὄντος* cod.

ΩΔΗ Η′. *Ἑπταπλασίως κάμινον.*

Μύρον *ζωῆς ἀνέβλυσε*
τὸ μακάριον πνεῦμά σου
ζῶν ἐπὶ τῆς γῆς,
παμμάκαρ Οἰκουμένιε·
καὶ αὖθις ἀνέβλυσε
τὸ σῶμα δίχα πνεύματος
ὕδωρ ἀληθῶς,
οὗ οἱ αἰσθόμενοι πίστει
βοῶσιν ἀσιγήτως,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἱκετικῶς *ἡ ποίμνη σου,*
θεοφόρε Ἀχίλλιε,
σοὶ μετὰ Θεὸν
προστρέχει δυσωποῦσά σε,
κινδύνων με λύτρωσαι,
σαλευομένην, πάτερ, δεινῶς
καὶ ταῖς τῶν ἐχθρῶν
ἐπιβουλαῖς ποντουμένην,
προθύμως ἵνα κράζω,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας.

336v **Σ**υνδοξασθέντες *πρότερον*
ἐκ Θεοῦ, παναοίδιμοι,
οἷα καὶ ὑμεῖς
ἔργοις αὐτὸν δοξάσαντες,
τανῦν συνδοξάζεσθε
καὶ παρ᾽ ἡμῶν ἀμφότεροι
ὕμνοις ἱεροῖς
μελῳδικῶς ἐκβοώντων,

---

heirm. η′ ΕΕ 219, n. 314, Joannis

οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὑπερφυῶς ἐγέννησας,
Θεοτόκε πανύμνητε,
τὸν Ἐμμανουήλ,
ὃν οἱ προφῆται ἅπαντες
ἐκ σοῦ προκατήγγειλαν
πάλαι, ἁγνή, τεχθήσεσθαι
καὶ τὴν τοῦ Ἀδὰμ
ἀνακαινίσειν οὐσίαν,
πρὸς ὃν ἡμεῖς βοῶμεν,
ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ΩΔΗ Θʹ. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Δυὰς ἱερωτάτη καὶ φωταυγής,
Λαρισαίων ποιμὴν ὁ πανάριστος,
Τρίκκης φωστὴρ
ὁ θεολαμπέστατος ἀληθῶς,
ὁ μὲν ἐκείνην φύλαττε,
ὁ δὲ ταύτην ἄτρωτον, ἄμφω δὲ
καὶ μᾶλλον ἑκατέραν,
Ἀχίλλιε παμμάκαρ
καὶ Οἰκουμένιε θεσπέσιε.

Ἐπέτυχες τῆς ὄντως, πάτερ, ζωῆς
ἀπολαύων κρειττόνων, Ἀχίλλιε,
θείου φωτὸς
καὶ ταῖς ἀκηράτοις μαρμαρυγαῖς
αὐτοῦ καταστραπτόμενος

435 ἀνακαινίσαι cod.
heirm. θʹ EE 220, n. 314, Joannis

θύεις τὴν ἀναίμακτον προσφορὰν
νοΐ τελείῳ, μάκαρ,
ὑπὲρ τῶν σὲ τιμώντων
ὡς ἱεράρχην ἀξιάγαστον.

Ἰδεῖν κατηξιώθης, ἀρχιερεῦ,
Οἰκουμένιε πάτερ ἀοίδιμε,
τὰ ὑπὲρ νοῦν,
ἄχθους ἀποθέσει τοῦ τῆς σαρκός·
ὅθεν ἡμῶν μνημόνευε
τῶν εἰλικρινῶς σου τὴν ἱερὰν
καὶ θείαν ἐτησίως
πανήγυριν τελούντων,
Τρίκκης τὸ μέγα περιτείχισμα.

337r *Θεοτοκίον.*

Νηδύν σου τὴν ἁγίαν ὁ πλαστουργὸς
οὐρανοῦ τε καὶ γῆς κατεσκεύασε,
μῆτερ ἁγνή,
θρόνον ἐπουράνιον χερουβίμ,
τιμιωτέραν δείξας σε
καὶ ἐνδοξοτέραν τῶν σεραφὶμ
καὶ πάσης ἀνωτέραν
τῆς κτίσεως· διό σε
ἀκαταπαύστως μεγαλύνομεν.

Ἐξαποστειλάριον. ⟨Ἦχος γʹ.⟩ Ἐν πνεύματι τῷ ἱερῷ.

Συνόδου μέρος γέγονας,
θεοφόρε τῆς πρώτης,
Ἀχίλλιε μακάριε,
συνεπόμενον ἔχων
καὶ Οἰκουμένιον ἅμα,
τὸν Τρίκκης ἄριστον
ποιμένα, μεθ' οὗ καθεῖλες
τοῦ Ἀρείου τὴν ὀφρὺν

heirm. ἐξαποστ. MR III 487, 546

καὶ ἐκήρυξας τρανῶς
ὀρθοδοξίας τὸν λόγον.

Ἕτερον. ⟨Ἦχος β'.⟩ Τοῖς μαθηταῖς συνέλθωμεν.

Κρήνη σου τὸ σεβάσμιον
σῶμα, πάτερ, ἐδείχθη,
ποταμηδὸν ἐκχέουσα
τῶν ὑδάτων τὰ ῥεῖθρα,
τὰ ὑπὲρ μέλι τῷ ὄντι
γλυκάζοντα καὶ κηρίον,
ἐξ ὧν οἱ ἐμφορούμενοι,
Οἰκουμένιε, φλόγα
τὴν τῶν παθῶν
ἅπασαν σβεννύντες,
δρόσου πληροῦνται
τῶν ἐναρέτων πράξεων,
σὲ τιμῶντες ἐκ πόθου.

Εἶτα τῆς τυχούσης ἑορτῆς ἢ θεοτοκίον.
Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ξενίζοντα δόγματα
τῇ ἐκκλησίᾳ ἐνσπείραντα
τὸν παράφρονα Ἄρειον,
δυνάμει τοῦ πνεύματος
καὶ φρικτοῖς σημείοις
κατέβαλες, μάκαρ,
καὶ ἐδοξάσθης ἀληθῶς
ἐν τῇ συνόδῳ λαμπρῶς, Ἀχίλλιε·
διὸ καὶ νῦν τιμῶμέν σου
τὴν φωτοφόρον πανήγυριν
καὶ σὺν σοὶ μεγαλύνομεν
τὸν σοφὸν Οἰκουμένιον.

---

heirm. ἑτέρου ἐξαποστ. PaR 706 — PeR 469
heirm. στιχηρῶν CPC 68
496 *δρόσου* corr. nos : *δρόσον* cod.
499 *ξενίζοντα* corr. nos : *ξενίζοντας* cod.

Ὁ ἅγιος Ἀχίλλιος Λαρίσης (ἀριστερὰ) καὶ ὁ ἅγιος Οἰκουμένιος Τρίκκης (δεξιὰ) σὲ τοιχογραφία τοῦ ἱεροῦ Βήματος τοῦ καθολικοῦ τῆς Μονῆς Ὑπαπαντῆς τῶν Μετεώρων (ἔτ. 1366/67).

ΠΙΝ. Β΄

Ὁ ἅγιος Ἀχίλλιος Λαρίσης σὲ τοιχογραφία (ἔτ. 1483) τοῦ ἱεροῦ Βήματος τοῦ καθολικοῦ τῆς Μονῆς τοῦ Μεγάλου Μετεώρου.

ΠΙΝ. Γ΄



Ὁ ἅγιος Ἀχίλλιος. Τοιχογραφία (β΄ μισὸ ΙϚ΄ αἰ.) ἱεροῦ Βήματος τοῦ ναοῦ τοῦ Ἁγίου Στεφάνου τῆς Μονῆς Ἁγίου Στεφάνου τῶν Μετεώρων.



Ὁ ἅγιος Ἀχίλλιος Λαρίσης (στὸ μέσον) καὶ ὁ ἅγιος Βησσαρίων Β' Λαρίσης (δεξιὰ) σὲ τοιχογραφία τοῦ νάρθηκα τῶν παρεκκλησίων τῆς Μονῆς Δουσίκου (ἔτ. 1739).



Κώδ. 212 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φφ. 21^{v}-22^{r} (ΙΕ' αἰ.): Ὁ ἀρχικὸς Βίος τοῦ ἁγίου Ἀχιλλίου Λαρίσης.



Κώδ. 212 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φ. 85r (ΙΕ' αἰ.): Τὸ σύντομο συναξάριο τοῦ ἁγίου Ἀχιλλίου.



Κώδ. 212 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φφ. 36v-37r (ΙΕ' αἰ.): Ἡ διασκευὴ τοῦ ἀρχικοῦ Βίου τοῦ ἁγίου Ἀχιλλίου Λαρίσης.



Κώδ. 143 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φ. 119ᵛ (ΙΖ΄ αἰ.): Ἡ διασκευὴ τοῦ ἀρχικοῦ Βίου τοῦ ἁγίου Ἀχιλλίου.



Κώδ. 143 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φ. 133ᵛ (ΙΖ΄ αἰ.): Ἡ διασκευὴ τοῦ ἀρχικοῦ Βίου τοῦ ἁγίου Ἀχιλλίου.



Κώδ. 646 Μονῆς Μεταμορφώσεως Μετεώρων, φφ. 1ᵛ-2ʳ (ΙΣΤ'/ΙΖ' αἰ.): Ἡ διασκευὴ τοῦ ἀρχικοῦ Βίου τοῦ ἁγίου Ἀχιλλίου.



ἈΚΟΛΟΥΘΙ'Α
ΤΟΥ ἘΝ ἉΓΙ'ΟΙΣ ΠΑΤΡΟ'Σ ἩΜΩ'Ν
ἈΧΙΛΛΙ'ΟΥ
ἈΡΧΙΕΠΙΣΚΟ'ΠΟΥ ΛΑΡΙ'ΣΣΗΣ
ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Νῦν πρῶτον τύποις ἐκδοθεῖσα, καὶ μετ' ἐπιμελείας ὅτι πλείστης διορθωθεῖσα.

ἘΝΕΤΙ'ΗΣΙ.
αψμε'. 1745.
Παρὰ Ἀντωνίῳ τῷ Βόρτολι,
CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

Τὸ ἐξώφυλλο τῆς πρώτης ἔκδοσης (Βενετία 1745) τῆς Ἀκολουθίας τοῦ ἁγίου Ἀχιλλίου.

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΛΑΡΙΣΗΣ

ΔΩΡΟΘΕΟΥ

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΧΙΛΛΙΟΥ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΛΑΡΙΣΗΣ

Ἐγκρίσει τῆς Ἱερᾶς Συνόδου
τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ «ΑΣΤΗΡ»
ΑΛ. & Ε. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
ΑΘΗΝΑΙ — ΛΥΚΟΥΡΓΟΥ 10
,α ϡ ν β'

Ἐξώφυλλο τῆς Ἀκολουθίας (Ἀθῆναι 1952) τοῦ ἁγίου Ἀχιλλίου.





Κώδ. 212 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φφ. 81r, 82r (ΙΕ' αἰ.): Ἡ ἀρχὴ τῆς Ἀκολουθίας τοῦ ἁγίου Ἀχιλλίου καὶ ἡ ἀρχὴ τοῦ πρώτου κανόνα τοῦ Ἰωσὴφ τοῦ Ὑμνογράφου.



Κώδ. 212 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φφ. 9ʳ, 9ᵛ: Ἀκολουθία τοῦ ἁγίου Ἀχιλλίου (ἡ ἀρχὴ τῶν κανόνων τοῦ Ἀντωνίου Λαρίσης καὶ τοῦ Ἰωσὴφ τοῦ Ὑμνογράφου).



Κώδ. 41 Πεζάρου (= Μορφωτ. Ἵδρυμα Ἐθν. Τραπέζης), φφ. 3ᵛ-4ʳ (ἔτ. 1710): Ἀκολουθία τοῦ ἁγίου Ἀχιλλίου (ἀρχὴ τοῦ κανόνα τοῦ Ἀντωνίου Λαρίσης).



Κώδ. 602 τῆς Μονῆς Μεταμορφώσεως τῶν Μετεώρων, φ. 1r (ΙΖ' αἰ.): Ἡ ἀρχὴ τῆς Ἀκολουθίας τοῦ ἁγίου Ἀχιλλίου.



Κώδ. 132 Μονῆς Μεταμορφώσεως Μετεώρων, φφ. 310v, 311r (Ις' αἰ.): Ἀκολουθία τῶν ἁγίων Ἀχιλλίου Λαρίσης καὶ Οἰκουμενίου Τρίκκης (ἀρχὴ τῶν κανόνων).



Κώδ. 212 Μονῆς Διονυσίου Ἁγ. Ὄρους, φ. 88ᵛ (ΙΕ' αἰ.): Ἀκολουθία τοῦ ἁγίου Ἀχιλλίου (ἡ ἀρχὴ τοῦ δευτέρου κανόνα τοῦ Ἰωσὴφ τοῦ Ὑμνογράφου).



Κώδ. 888 Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος, φφ. 4ʳ, 5ᵛ (ΙΔ' αἰ.): Στιχηρὰ τοῦ ἁγίου Ἀχιλλίου.



Κώδ. 512 Μονῆς Ἰβήρων Ἁγ. Ὄρους, φφ. 118^v-119^r (ΙΓ' αἰ.). Στιχηρὰ καὶ κανόνας τοῦ Μεγάλου Ῥήτορος Μανουὴλ Κορινθίου.



Κώδ. 619 Μονῆς Ἰβήρων Ἁγ. Ὄρους, φφ. 331^r, 333^r (ἔτ. 1712): Ἀναστασίου Γορδίου Ἀκολουθία τῶν ἁγίων Ἀχιλλίου Λαρίσης καὶ Οἰκουμενίου Τρίκκης.



Ὁ σημερινὸς ναὸς τοῦ ἁγίου Ἀχιλλίου στὴ Λάρισα.



Ὁ σημερινὸς ναὸς τοῦ ἁγίου Ἀχιλλίου στὴ Λάρισα.

337v *Πηγὴν ὡς ἑώρακε*
τὴν ἐκ τοῦ θείου σου σώματος
ὁ ποιμὴν ἐκπληττόμενος,
ποιμὴν Οἰκουμένιε,
τῷ τῆς ἐκκλησίας
ποιμένι προσῆλθε
καὶ ὑφηγεῖται τὸ φρικτὸν
καὶ μέγα ὄντως τοῦτο τεράστιον·
ὁ δὲ σπουδῇ ἐπέδραμε
καί, σὸν ὑπάρχειν ὡς ἔγνωκε,
Τρικκαεῦσιν ἀπέπεμψε
δῶρον οἷα πολύτιμον.

Ῥημάτων ἡ δύναμις
τῶν σῶν, θεόφρον Ἀχίλλιε,
πονηρότατα πνεύματα
δαιμόνων ἀπήλαυνεν
ἐξ ἀνθρώπων πάλαι
καὶ νῦν οἱ τῷ θείῳ
σοῦ προσεδρεύοντες ναῷ
παντοίας νόσου λύσιν κομίζονται
καὶ πίστει τὸν δοξάσαντα
σὲ ἐν σημείοις καὶ τέρασιν
ὁμοφρόνως δοξάζουσιν
εἰς αἰῶνας γηθόμενοι.

Τρίκκη τὸ σεβάσμιον
σῶμά σου, πάτερ, πλουτήσασα
θησαυρὸν ὥσπερ ἄσυλον,
πιστῶς ἐναβρύνεται
καταρδευομένη
ταῖς τῶν ἰαμάτων
πηγαῖς ἀφθόνως καὶ λαμπρὰν
ἐπιτελοῦσα σαφῶς πανήγυριν,
ὑμνεῖ σου τὰ τεράστια
τὰ καθ' ἑκάστην γινόμενα

---

521 *Τρικκακεῦσιν* cod. 544 *γενόμενα* cod.

τῇ τοῦ πνεύματος χάριτι
δι' αὐτοῦ, Οἰκουμένιε.

Δόξα. Ἦχος πλ. δ'.

Χρίσματι θεουργῷ
τὴν τῆς ἱεραρχίας στολὴν ἐνδυσάμενοι
καὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας
ἐγχειρισθέντες τοὺς οἴακας,
ὡς ὁλκάδα ταύτην,
κινδύνοις χαλεποῖς προσπαλαίουσαν,
εἰς λιμένα εὔδιον καὶ ἀχείμαστον ἐπωκείλατε·
διὸ καὶ νῦν ταῖς εὐχαῖς ὑμῶν,
ξυνωρὶς ἁγία καὶ σεπτή,
Ἀχίλλιε σοφὲ καὶ Οἰκουμένιε,
οἰκουμένης κλέος τὸ περίπυστον,
τῶν κατ' αὐτῆς κινουμένων πνευμάτων
τὰς ἐπιφορὰς ἐκδιώκοντες,
ἐν γαλήνῃ διασώζεσθαι
πρεσβεύσατε Χριστῷ τῷ Θεῷ
καὶ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

338r *Καὶ νῦν. Τῆς ἑορτῆς ἢ τό: Δέσποινα, πρόσδεξαι. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν ζήτει εἰς ἱεράρχας ἀπόστολον καὶ εὐαγγέλιον. Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν· καί: Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.*

Τέλος καὶ τῷ Θεῷ δόξα.

Μεγαλυνάριον εἰς τοὺς δύο ἱεράρχα‹ς›, Ἀχιλλίου καὶ Οἰκουμενίου.

Αἴγλης ἐμφορούμενοι τριλαμποῦς
ἐν μεθέξει θείᾳ,
οἱ προστάται καὶ ὁδηγοί,
Ἀχίλλιε πάτερ
σὺν τῷ Οἰκουμενίῳ,
ἀκτῖνα φωτοφόρον
ἡμῖν ἐκπέμψατε.

---

567 *σὺν τῷ Οἰκουμενίῳ* corr. nos: *καὶ τῷ Οἰκουμενίου* cod.

ΟΙ ΑΡΧΕΣ ΤΩΝ ΤΡΟΠΑΡΙΩΝ ΤΩΝ ΥΜΝΟΓΡΑΦΙΚΩΝ ΚΕΙΜΕΝΩΝ

(Initia)

(Οἱ ἀριθμοὶ παραπέμπουν στοὺς στίχους τοῦ ὑμνογραφικοῦ κειμένου, τὸ ὁποῖο χαρακτηρίζεται μὲ ἕνα ἀπὸ τὰ ψηφία Γ' - ϛ', ὅπως αὐτὰ ἔχουν στὴν ἔκδοση).

Αἴγλης ἐμφορούμενοι τριλαμποῦς ϛ' 563
Ἅμα ἐν γῇ πολιτευθέντες ϛ' 241-242
Ἀναστάσεως ἡμέρα συνεξέλαμψε νῦν Ε' 56-57
Ἀνευφημῆσαι προθεμένῳ σήμερον ϛ' 167
Ἀνύστακτε πρεσβευτὰ Γ' 46
Ἄνωθεν ἀοράτως ἔπιδε, πάτερ Ε' 243-244
Ἄνωθεν σὺ τὴν θείαν χάριν ἑώρακας ϛ' 261-262
Ἀπλανῆ σε φωστῆρα οἱ πιστοὶ γινώσκομεν Δ' 27-28
Ἀπὸ βρέφους τὸν Θεὸν ἐπιποθήσας Ε' 95-96
Ἄρσεν ὁ λόγος προελθὼν Ε' 118
Αὕτη ἡ φαιδρὰ καὶ ἑόρτιος μνήμη Ε' 227-228
Ἀχίλλιε σοφέ, τῆς Τριάδος ὁ μύστης ϛ' 137-138
Βίῳ καὶ λόγῳ καθαρῶς ἡγνισμένοι ϛ' 159
Βλύζει μύρα ἰάσεων Δ' 36
Γυναῖκες μετὰ πόθου προστρέχουσαι Ε' 206
Δεῦτε μουσουργῶν καὶ λογάδων τὰ στίφη Ε' 235-236
Δεῦτε πόμα πίωμεν, πιστοί, τῆς σοροῦ Ἀχιλλίου Ε' 80-81
Δεῦτε τῶν πιστῶν ἡ ὁμήγυρις Δ' 15
Δυὰς ἱερωτάτη καὶ φωταυγὴς ϛ' 440
Ἐγλύκανας τὰς ψυχὰς τῶν ὀρθοδόξων ϛ' 316-317
Ἐκαίνισεν, ἄχραντε, τὴν ἡμετέραν φύσιν ϛ' 385-386
Ἔλαμψεν ὄντως ἡ φαιδρὰ καὶ φωτοφόρος ἡμέρα ϛ' 206-207
Ἐπέτυχας τῆς ὄντως, πάτερ, ζωῆς ϛ' 449
Ἐπὶ τῆς θείας φυλακῆς τῶν νοημάτων τοῦ νοὸς Ε' 111-112
Εὐσεβῶς δογματίσαντες καὶ συμφώνως κηρύξαντες ϛ' 1-2
Ἔχει μὲν ἡ πανεύσημος τῶν Λαρισαίων μητρόπολις Ε' 28-29
Ζῆλον ἔνθεον ἀναλαβόντες ϛ' 129
Θανάτῳ τῶν φθαρτῶν τὰ αἰώνια ἀντηλλάξω Ε' 220-221
Θεός σε τῷ θαύματι συνόδου μέσον ϛ' 378-379
Ἰακὼβ σὲ προεῖδε Γ' 32
Ἰδεῖν κατηξιώθης, ἀρχιερεῦ ϛ' 458
Ἰδού σε πᾶσαι σαφῶς νῦν γενεαὶ ϛ' 330-331
Ἱδρυμένοι ἐν πέτρᾳ τῇ τῆς εὐσεβείας ϛ' 281-282

Ἱεραρχίᾳ σεαυτὸν ἐκόσμησας ς' 183
Ἱεραρχῶν τὴν θαυμαστὴν καὶ θείαν ξυνωρίδα ς' 341
Ἱκετευτικῶς ἡ ποίμνη σου ς' 404
Ἱλέου τὸν Κύριον ὑπὲρ τῆς ποίμνης Γ' 101-102
Ἵνα θείας κοινωνοὺς ἡμᾶς ἐργάσηται φύσεως Γ' 60-61
Ἴχνεσι τοῖς τοῦ ἱεροῦ καὶ θεοφόρου ς' 213-214
Καθαρθεὶς νοὸς τὰς ὄψεις Ε' 64
Κατὰ τῶν ἀντιπάλων ξίφος τεθηγμένον ς' 288-289
Κατῆλθες ἐκ συνόδου ὡς πάλαι Μωσῆς Ε' 157
Κόρη πανάμωμε, παρθένε δέσποινα Γ' 25
Κρήνη σου τὸ σεβάσμιον σῶμα ς' 486-487
Κωνσταντίνῳ τῷ πιστῷ καὶ ὀρθοδόξῳ βασιλεῖ ς' 227-228
Λαλεῖ Λάρισα σὰς ἀριστείας ξένας ς' 360
Λαμπρῶς ἑορτάζομεν τὴν σεβασμίαν μνήμην σου Γ' 87-88
Λάρισα καὶ Τρίκκη συνελθοῦσαι ς' 40
Λόγον τὸν θεῖον ἀπορρήτως τέτοκας ς' 191
Λόγων ἐνθέων ἀστραπαῖς ς' 199
Λοιμοῦ καὶ κακώσεως Γ' 94
Μανίαν τοῦ δυσσεβοῦς Ἀρείου ς' 309-310
Μὴ πειραθεὶς παθῶν ἰλύος ς' 251-252
Μύρον ζωῆς ἀνέβλυσε ς' 392
Ναὸς τῆς ζωαρχικῆς, πάτερ, Τριάδος ς' 323-324
Νηδύν σου τὴν ἁγίαν ὁ πλαστουργὸς ς' 467
Νόμοις πειθόμενος σαρκός, Ἀχίλλιε Γ' 17
Νοὸς καθαρότητι καὶ διανοίας τῆς σῆς ς' 371-372
Νῦν πάντες πεπλήρωνται χαρᾶς Λαρισαῖοι Ε' 85-86
Ξενίζοντα δόγματα τῇ ἐκκλησίᾳ ς' 499-500
Ὁ θεοπάτωρ μὲν Δαβὶδ προανεκήρυξε σαφῶς Ε' 132-133
Οἰκουμένην ἔπλησε θείων θαυμάτων ς' 362
Οἰκουμένης ἀγλάισμα καὶ Τρίκκης τὸ καύχημα ς' 27-28
Οἰκουμένης ὤφθησαν θεῖοι λαμπτῆρες ς' 337
Οἰκουμένιον πάντες τὸν θεορρήμονα ς' 148-149
Οἱ τῇ σεπτῇ σου προσιόντες λάρνακι Γ' 9
Ὅλη ἐν σοὶ τῶν χαρισμάτων τοῦ πνεύματος ς' 271-272
Ὁ λόγος, Ἀχίλλιε, τῆς σῆς σοφίας ς' 364-365
Ὁ παῖδας ἀπαλλάξας φλογώσεως Ε' 199
Ὀρθρίσωμεν τὰς ἐναρέτους τοῦ Ἀχιλλίου Ε' 139-140
Ὁ τῇ ἐπιπνοίᾳ καὶ χάριτι Ε' 179
Οὐρανοὶ μὲν καὶ ἡ γῆ συνεπαγάλλονται Ε' 72-73
Ὁ χορὸς τῶν ἀγγέλων νῦν συνεορτάζει ς' 295-296
Παραδόξως σήμερον, Χριστοῦ θεράπον Γ' 67
Πάτερ παντοκράτορ, Υἱὲ καὶ θεῖον Πνεῦμα Ε' 251-252
Πηγὴν ὡς ἑώρακε τὴν ἐκ τοῦ θείου σου σώματος ς' 511-512
Προορισθεὶς ὑπὸ Θεοῦ Δ' 1
Προσέλθωμεν μετ' εὐλαβείας τῷ ζωηφόρῳ τεμένει Ε' 145-147
Ῥημάτων ἡ δύναμις τῶν σῶν ς' 523-524
Σαρκὶ Χριστῷ σταυρωθεὶς καὶ νεκρωθεὶς Ε' 286-287
Σταυρὸν ἐπ' ὤμων τῶν σῶν ἀράμενος Γ' 39

Συνδοξασθέντες πρότερον ἐκ Θεοῦ ς' 416-417
Συνόδου μέρος γέγονας ς' 476
Σῶτερ, ὁ τὸ αἷμα θεμέλιον θεὶς Ε' 169
Τέσσαρσιν ἀφωρίσθη ἀρχαῖς ς' 97
Τὴν ἄμετρον ταπείνωσίν σου καὶ εὐποιίαν Ε' 151-152
Τῆς συνόδου γενόμενος σὺ τῆς πρώτης ὑπέρμαχος ς' 14-15
Τὸν θεῖον ὑμνήσωμεν Ἀχίλλιον Ε' 40
Τὸν μέγαν ἀρχιποίμενα τῆς Θετταλίας Γ' 112-113
Τὸν παμφαῆ ἱεράρχην καὶ χριστοκήρυκα Ε' 1-2
Τὸ ὄμμα τῆς καρδίας διὰ παντὸς ἀτενίζω Γ' 104-105
Τοῦ τῆς θείας σοφίας κρατῆρος ς' 117
Τὸ χαριτόπνουν σοφίας ὑμνείσθω ὄργανον Ε' 10-11
Τρίκκη τὸ σεβάσμιον σῶμα σου ς' 535-536
Τῷ βασιλεῖ στεφανηφόρος Γ' 1
Τῶν πατέρων, ἔνδοξε, τῶν ἐν Νικαίᾳ Ε' 175
Τῷ τῆς σοφίας τῆς ὄντως Ε' 19
Τῷ τῶν ἀρετῶν τιθηνούμενος γάλακτι Δ' 52-53
Ὑπελθών σου τὴν μήτραν λόγος οὐράνιος ς' 302-303
Ὑπερφυῶς ἐγέννησας, Θεοτόκε ς' 428-429
Φέγγει τῶν ἀρετῶν αὐγασθεὶς ς' 77
Φυλάξας ἀμείωτον ὅρον Ε' 163
Φωτίζου, φωτίζου ἡ ἐκκλησία τοῦ Θεοῦ Ε' 259-260
Χαίροις ἡ τῶν φωστήρων δυὰς Ε' 57
Χαρᾶς ἀλήκτου τανῦν ἡ Θετταλία Γ' 53
Χάριτι θείᾳ λαμπρυνθείς, θεσπέσιε ς' 175
Χθὲς συνενεκροῦτο τῷ Χριστῷ Ε' 90
Χρίσματι θεουργῷ τὴν τῆς ἱεραρχίας στολὴν ς' 547-548
Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς, δι' ἧς μάκαρ Ε' 268-270
Ὦ Πάσχα τὸ θεῖον καὶ ἱερώτατον Χριστέ, ταῖς τοῦ σοῦ Ἀχιλλίου Ε' 277-279
Ὡς ἑωσφόρος φαεινὸς Γ' 71
Ὡς ὄντως ἱερός σου καὶ πάντιμος ὁ βίος Ε' 213-214
Ὥσπερ ἐπέτειος ἀστὴρ ἡ πάμφωτός σου ἑορτὴ Ε' 125-126
Ὢ τῶν θαυμάτων τῶν ἐν σοὶ γεγενημένων ς' 219-220

ΙΩΑΝΝΑ ΚΟΛΙΑ

ΑΘΑΝΑΣΙΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ Ο ΕΞ ΑΓΡΑΦΩΝ (1656;-1719)

Η ΕΠΙΣΤΟΛΟΓΡΑΦΙΑ ΤΟΥ

Εἰσαγωγικὰ

Οἱ ἔρευνες τοῦ Κ.Ε.Μ.Ν.Ε. στὰ μετεωρικὰ μοναστήρια, μᾶς ἔδωσαν τὴν εὐκαιρία νὰ ἐντοπίσουμε σὲ τρεῖς βιβλιοθῆκες χειρόγραφα ποὺ περιέχουν συλλογὲς ἐπιστολῶν τοῦ ἱερωμένου καὶ διδασκάλου τοῦ 17ου/18ου αἰώνα Ἀναστασίου τοῦ Γορδίου[1].

Σύντομα ἐντάχθηκε στὰ προγράμματα τοῦ Κέντρου ἡ μελέτη καὶ συγκεντρωτικὴ παρουσίαση (σὲ corpus) τῆς ἐπιστολογραφίας τοῦ σημαντικοῦ αὐτοῦ λογίου, μαθητοῦ καὶ συνεχιστοῦ τοῦ ἄλλου μεγάλου διδασκάλου τῆς περιοχῆς Εὐρυτανίας καὶ Αἰτωλίας, τοῦ Εὐγενίου Γιαννούλη. Προχωροῦμε τώρα στὴν συγκέντρωση σὲ μικροταινίες ἢ φωτογραφίες τῶν χειρογράφων ποὺ περιέχουν συλλογές, μικρότερες ἢ μεγαλύτερες, τῶν ἐπιστολῶν τοῦ Γορδίου. Μεταξὺ αὐτῶν εἶναι καὶ τὰ δύο χειρόγραφα τῆς μονῆς Ἁγίου Παντελεήμονος, κώδδ. *693* καὶ *781*, στὸ Ἅγιο Ὄρος, ποὺ θὰ μᾶς ἀπασχολήσουν στὴν συνέχεια.

Εἶναι κώδικες ποὺ περιέχουν ἐπιστολὲς διαφόρων λογίων τῆς ἐποχῆς· ἀνάμεσά τους τοῦ Ἀναστασίου τοῦ Γορδίου καὶ τοῦ ἀδελφοῦ του «*Ἀθανασίου ἱερομονάχου τοῦ ἐλαχίστου*».

Ὁ Ἀθανάσιος ὁ «ἱερομόναχος ὁ ἐλάχιστος» (ὅπως ὁ ἴδιος ὑπογράφει στὶς ἐπιστολές του) καὶ διδάσκαλος στὶς ἀρχὲς τοῦ 18ου αἰ. κυρίως στὸ Ἀνατολικὸ (ἢ Ἀνατωλικὸ)[2] δὲν μᾶς εἶναι τελείως ἄγνωστος. Ἡ διδασκαλική του παρουσία ἐπισημάνθηκε ἤδη ἀπὸ παλαιότερους ἐρευνητές[3]. Θὰ προσπαθήσουμε ἐδῶ

---

1. Ν. Βεη, *Τὰ χειρόγραφα τῶν Μετεώρων, Τόμ. Β' : Μονὴ Βαρλαάμ*, Ἀθῆναι 1984, σ. 305-321, κώδ. 203. *Τόμ. Γ' Μονὴ Ἁγίου Στεφάνου*, περιγραφὴ ὑπὸ Δ. Σοφιανου Ἀθῆναι 1986, σ. 71-88, κώδ. 29. *Τόμ. Δ': Μονὴ Ἁγίας Τριάδος*, κώδ. 38 (ἡ περιγραφὴ ὑπὸ Δ. Σοφιανου — ἑτοιμάζεται).

2. Ἀνατωλικό· βλ. στὰ σχόλια τῆς ἐπιστολῆς ἀρ. 1.

3. Σύντομες ἀναφορὲς στὸ ὄνομά του ἀπὸ τὸν Τρ. Ευαγγελιδη, *Ἡ παιδεία ἐπὶ Τουρκοκρατίας*, τόμ. Α', Ἀθῆναι 1936, σ. 169 καὶ 268. Γ. Παυλιδου, «Ἐπίσκεψις εἰς τὴν

νὰ διερευνήσουμε τὴν ζωή του καὶ τὴν προσωπικότητά του μὲ τὰ στοιχεῖα ποὺ μᾶς δίνει ἡ μελέτη τῆς ἀλληλογραφίας του· καὶ θὰ τὰ συμπληρώσουμε μὲ ἐκεῖνα τῆς ἀλληλογραφίας τοῦ ἀδελφοῦ του, τοῦ Ἀναστασίου Γορδίου.

Ἐνέτυχον τοῦ ἱεροῦ αὐτῆς γράμματος, καὶ χάριτας αὐτῇ οὐ τὰς τυχούσας ὡμολόγησα, διὰ τὴν πρὸς ἐμὲ παραμυθίαν αὐτῆς τῆς ἐπισυμβάσης μοι νόσου, ἐξ ἧς εἴσεται ὡς ἀπηλλάγην μὲν μικρόν τι, χάριτι τοῦ τὰ πάντα ἐνδυναμοῦντος Θεοῦ καὶ τῇ τῆς σῆς λογιότητος πρὸς Αὐτὸν μεσιτίᾳ, ἀλλ' οὐκ οἶδα εἰ καὶ τελείως ἀπαλλαχθῶ αὐτῆς καὶ μέχρι τίνος. Ἐφίεμαι μέντοι καὶ διὰ τὴν τῆς σῆς λογιότητος ὑγίειαν μαθεῖν, τὴν διὰ τῶν τιμίων αὐτῆς γραμμάτων βεβαιωθεῖσάν μοι, καὶ οὐ διὰ τὴν τῶν ἐνθάδε παραγενομένων ἀγωγίμων ἀνδρῶν κηρυττομένην. Οὗτοι μὲν γὰρ πρὸς τὰ τῇδε αὐτῶν παρουσίᾳ ἀπαγγέλλουσί μοι ὑγίειαν αὐτῆς καὶ εὐρωστίαν ἀξιέπαινον καὶ λίαν χαροποιοῦσί με, ἀλλ' οὐκ ἀρκοῦμαι μόνῃ τῇ τούτων ἀγγελίᾳ, ἐὰν μὴ καὶ παρ' αὐτῆς πιστεύσωμαι τὸ ἀληθές. Καὶ εἰ φίλον αὐτῇ, μὴ ἀποτύχοιμι τῆς ἐφέσεως· οὕτω Θεὸς αὐτῇ ἐπινεύσειε. Τὸν τὸ σεβάσμιον αὐτῆς διακομίσαντα γράμμα, ἐδεξάμην μεθ' ὅσης εἶχον δυνάμεως, ἀλλ' εἰς Μεσολόγκιον ἐλθών, καί τινας τῶν ἡμερῶν ἐκεῖσε περιμείνας χάριν τῆς ἧς εἶχεν αὐτοῦ ἐμπορίας ἀπεμπολήσεως, ταύτῃ μὴ ἀρκεσθείς, ἐπεχειρίσατο καὶ τὴν τοῦ τρυγητοῦ ταλαιπωρίαν ὑπενεγκεῖν, καὶ ἐπληρώθη ἀντ' αὐτοῦ νόσον χαριεστάτην τὴν τυχοῦσαν αὐτῷ. Ἔρρωσο.

Τὴν ἀδελφὴν ἡμῶν Φέγγων καὶ τὸν Βιτάλιον χαιρετῶ δι' αὐτῆς. Ἀσπάζονται καὶ δι' ἐμοῦ πανευλαβῶς τὴν ἱερὰν αὐτῆς δεξιάν, ἡ Ἀλτάνη, καὶ ὁ αὐτῆς υἱὸς Καλόγερος σὺν τῇ αὐτοῦ συνοδίᾳ καὶ τέκνοις, Ἐλισάβετ καὶ Ζαχαρίᾳ· καὶ πάντες οἱ τῶν ἐγχωρίων φιλοῦντες αὐτήν.

Ἐξ Ἀνατωλικοῦ, ͵αψια' μαιμακτηριῶνος δ' φθίνοντος.

Ὁ σὸς μαθητὴς καὶ ἀδελφός, Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

19

Ἁγ. Παντελ. 693, φ. 191β (ἐπιστ. ιδ')

191β *Ζαχαρίᾳ ἱεροδιακόνῳ τῷ Καραντινῷ εὖ πράττειν.*

Λακωνίζων μοι ἐπέσταλκε, καὶ λύσιν σιγῆς τῆς ἐμῆς πρὸς αὐτὸν ἐπιζητεῖς. Δέδεξο τοίνυν ταύτην αὐτῷ χάρις, τὴν δυσανασχετοῦσάν σε ἀθυμίαν ἀποβαλόμενος καὶ συνεχῶς ἐπιστέλλειν μοι μὴ ἀμελῶν.

Ἔρρωσο.

Ἐξ Ἀνατωλικοῦ, ,αψια' ἀνθεστηριῶνος β' φθίνοντος.

Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος, ὁ ποτὲ καθηγητὴς αὐτῆς, εὐχέτης σός.

20

Ἁγ. Παντελ. 693, φ. 191β - 192α (ἐπιστ. ιε')

Ὁσιώτατε ἐν ἱεροδιακόνοις καὶ φιλομαθέστατε κύριε κύριε Ζαχαρία Καραντινέ, ὑγιαίνων εἴης, καὶ εὐθυμῶν.

Ἐδεξάμην καὶ δεύτερον γράμμα τῆς σῆς ὁσιότητος καὶ ἔγνων δι' ἀμφοτέρων αὐτῶν τὸν σκοπὸν αὐτῆς. Ἔφεσιν γὰρ ἔχουσα αὐτὴ οὐ μικρὰν ἑλληνιστὶ ἐπιστέλλειν τοῖς φιλοῦσιν αὐτήν, πρὸς ἐμὲ αὐτὸν ἐψηφίσατο τὴν πεῖραν. Ἴσθι δ' οὖν ὡς καὶ ἐπιστολαὶ (κατὰ τὸν σοφώτατον Κορυδαλλέα) μᾶλλον ἡδεῖαί εἰσιν, ὅσαι δημοτικαὶ τυγχάνουσιν οὖσαι καὶ χαριέστεραι αὖθις, ὅσαι τι κομψὸν ἔχουσιν ἐν ἁπλότητι· καὶ τούτων μάλιστα, ὅσαι τὴν χρείαν τῆς ἀνάγκης διασαφηνίζουσι, καὶ μὴ γριφώδεσι λέξεσι καὶ ἀσαφέσι τυγχάνουσιν οὖσαι κατατορνευμέναι. Τῷ γὰρ βουλομένῳ οὑτωσὶν ἐπιστέλλειν, ἐμπειρότατον δεῖ εἶναι τῶν σημασιῶν τῶν τοιούτων, καὶ ἀκμὴν κατὰ τοὺς τῆς γραμματικῆς κανόνας αὐτὰς συντάττειν, ἵνα μὴ μᾶλλον κατήγορος πρὸς οὓς ἐπιστέλλειν φαίνηται, ἢ ἐπαινεῖται. Ἔστι μὲν πολλὰ τῶν ῥημάτων, ἅτινα, διαφόροις πτώσεσι συντασσόμενα, διαφόρους καὶ τὰς σημασίας αὐτῶν ἔχοντα, καὶ ποτὲ μὲν ψόγον ποιοῦντα, ποτὲ δὲ ἔπαινον. Ἐξ ὧν εἰ φίλον αὐτῇ μαθεῖν, ἐχέτω παράδειγμα ἓν τῶν αὐτῶν μόνον, καὶ γνώσεται τὴν ἐνέργειαν αὐτῶν ὡς ἐξ ὄνυχος τὸν λέοντα κατὰ τὴν παροιμίαν. Τὸ γὰρ θαυμάζω ῥῆμα, αἰτιατικῇ μὲν πτώσει συντασ-
192α *σόμενον, σημαίνει ἔπαινον, ὡς τὸ θαυμάζω / τὸν ἄνδρα (ἀντὶ τοῦ ἐπαινῶ)· γενικῇ δὲ συντασσόμενον λαμβάνεται ἐπὶ κατηγορίας, ὡς τὸ θαυμάζω τοῦ ἀνδρὸς (ἤτοι κατηγορῶ). Καὶ ἄλλα πολλὰ τοιαῦτα εὑρήσεις ἐν τοῖς γράμμασι τῶν λογογράφων, ἐν τῇ τοῦ Λασκάρεως γραμματικῇ τοῦτον ἔχοντα τὸν τρόπον. Ἔγωγε μέντοι τῇ πρὸς αὐτὸν φιλίᾳ φερόμενος, τοιαύτην ἰδέαν ἐπιστολῶν διατάττομαι αὐτῇ χρᾶσθαι. Αὐτὴ δὲ εἰ οὐκ ἀρέσκεται τῇ ἡμετέρᾳ διατάξει, ποιείτω κατὰ τὸν αὐτῆς σκοπόν, ἀλλ' οὖν συνεχῶς ἐπιστέλλειν μοι μὴ κατοκνείτω. Ἔρρωσο.*

Ἐξ Ἀνατωλικοῦ, ,αψια' ποσειδεῶνος δ' ἱσταμένου.

Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος, εὐχέτης σου.

21

Ἁγ. Παντελ. 693, φ. 192α (ἐπιστ. ιστ')

Τῷ φιλομαθεστάτῳ Δημητρίῳ τῷ Κυριτζόπαιδι, εὖ πράττειν.

Δυοῖν ἐνέτυχον παρ' αὐτῆς γραμμάτοιν· ἓν μὲν γὰρ κατὰ τὴν βην μεσοῦντος θαργηλιῶνος, ἐκ Μεσολογγίου· ἕτερον δὲ κατὰ τὴν γην ἱσταμένου ποσειδεῶνος, διά τινος τῶν τῇδε εἰς τὰ αὐτόθι ἐπιπλεύσαντος (Δημητρίου φημὶ τοῦ καὶ Μιξῆ ἐπονομαζομένου) σὺν τοῖς πεντήκοντα λειμονίοις τοῖς παρ' ὑμῖν μὲν εὐπόροις, πρὸς ἡμᾶς δὲ ἀπόροις. Καὶ χάριτας αὐτῇ οὐ τὰς τυχούσας ὡμολόγησα τούτων ἕνεκα. Ἐπειδὴ καὶ τοῖς δυσὶν αὐτῆς γράμμασιν οὐδὲν ἄλλο ἐδήλου μοι ἐφίεσθαι, εἰ μὴ τὴν τῶν ἡμετέρων εἴδησιν, καὶ προσέτι τὴν τοῦ καθηγητοῦ ἡμῶν ἐπιστροφήν ποτε εἰς τὰ τῇδε. Καὶ πρὸς τούτοις, νέων μηνυμάτων ὡς φίλον αὐτῇ ἀκούειν, εἴσεται κατ' ἐπιτομήν, ὡς ἔγωγε μὲν ὑγιῶς ἔχω μέχρις οὗ γράφω αὐτῇ, ὡσαύτως καὶ ὁ καθηγητὴς ἡμῶν, ὡς δι' αὐτοῦ ἔμαθον καὶ ἡ ἐπιστροφὴ τούτου τοῖς γούνασι τῶν θεῶν κεῖται καθ' Ὅμηρον. Νέα δὲ μηνύματα. ᾄδονται παρ' ἡμῖν διάφορα, ἀλλὰ διὰ τὸ ἀμφιρρεπὲς αὐτῶν πρός γε αὐτῶν τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος σιωπῶμεν αὐτοὶ καὶ οὐκ ἐξαγγέλλομεν τοῖς παρ' ἡμῶν ἐθέλουσι μανθάνειν αὐτῶν τὸ ἀληθές. Ἔρρωσο.

Ἐξ Ἀνατωλικοῦ, ,αψιβ' ἰαννουαρίου κβ'.

Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος, σὸς ἐν Χριστῷ εὐχέτης.

22

Ἁγ. Παντελ. 693, φ. 192β - 193α (ἐπιστ. ιζ')

192β *Τῷ λογιωτάτῳ καὶ σοφωτάτῳ διδασκάλῳ, ἡμετέρῳ ἀδελφῷ καὶ καθηγητῇ κυρίῳ κυρίῳ Ἀναστασίῳ, εὖ πράττειν.*

Χρῆστος τὸ σὸν πρὸς ἐμὲ διεκόμισεν, ὁ αὐτὸς καὶ τὸ ἡμέτερον πρὸς αὐτὴν διακομίσεται. Τίς δ' ἡ ἄργιτα ἡ τούτου εἰς τὰ τῇδε, αὐτὸς εἰς τὰ αὐτόθι ἐλθὼν διὰ ζώσης αὐτοῦ τῆς φωνῆς ἐμφανίσεται αὐτῇ περὶ αὐτῆς ἐμφανέστερον. Ἐπεὶ δὲ καὶ ἐξ αὐτοῦ, καὶ τῆς ἐγχειρισθείσης μοι παρ' αὐτοῦ ἱερᾶς αὐτῆς πυκτίδος πάντα τὰ κατ' αὐτὴν ἔμαθον ὡς ἐπόθουν, ὡς μᾶλλον καὶ ἥσθην μὲν οὐ μετρίως καὶ τῷ Θεῷ δὲ πολλὰς τὰς εὐχαριστίας ἀνεθέμην τούτου ἕνεκα· εἰ δὲ καὶ ἡ σὴ λογιότης περὶ ἐμοῦ μαθεῖν ἐφίεται, ἴσθι ὡς ἀμφιρρεπής εἰμι, ὁτὲ μὲν πρὸς τὸ τῆς ὑγιείας μέρος ῥέπων, ὁτὲ δὲ πρὸς τὸ ἐναντίον τῆς αὐτῆς. Καὶ γὰρ τῆς τε μὲν πολυειδεῖς με κατέλαβον ἀσθένειαι, πρότερον μὲν ὠταλγίαι ἀμφοτέρων τῶν ὤτων οὐ σμικραί, μετὰ ταῦτα δὲ καὶ εἰς ῥῖγος ἐνέπεσον, καὶ τούτου ἤδη ἐλευθε-

ρωθεὶς τανῦν αὖθις ὁ τῆς ἐμῆς δεξιᾶς ἀντίχειρ ἐκουφοδρόμει τοσοῦτον, ὥστε καὶ αὐτὸν τὸν ὄνυχα ἐκριζωθῆναι, καὶ πληγὴν γεγονέναι ἰατρικῶν φαρμάκων δεομένην εἰς ἴασιν. Ταῦτ' ἄρα καὶ ἡ παροῦσα οὐ δι' ἐμοῦ αὐτοῦ ἐγκεχάρακται, ἀλλὰ διά τινος τῶν ἡμετέρων μαθητῶν, ὡς ἐκ τῆς τῶν γραμμάτων εἰκόνος γνώσῃ σαφέστερον. Ἔρρωσο.

Πάντας τοὺς ἐνθάδε φίλους προσηγόρευσα παρ' αὐτῆς καὶ κοινῇ, καὶ κατ' ὄνομα, καὶ πάντες εὐχαρίστησαν αὐτῇ, περιμένοντες τὴν πρὸς αὐτοὺς ἔλευσίν ποτε αὐτῆς μετὰ πολλῆς τῆς θυμηδίας, ἥντινα καὶ προσκυνοῦσιν ἅπαντες δι' ἐμοῦ, ἀσπαζόμενοι τὴν ἁγίαν αὐτῆς δεξιάν. Ἐξόχως ὁ κὺρ Ἰωάννης Καραντινὸς καὶ ὁ κὺρ Παναγιώτης ὁ τῆς Μπελκοπούλης λεγόμενος. Χαιρετῶ κἀγὼ δι' αὐτῆς τὴν ἡμετέραν ἀδελφὴν Φέγ-
193α γων καὶ τὸν ἀναγνώστην Βιτάλιον, καὶ πάντας τοὺς | οἰκείους ἡμῶν, καὶ φίλους. Ἐχέτω δὲ καὶ τοῦτο εἰς εἴδησιν, ὡς ὁ μακαρίτης ἡγούμενος τῆς μονῆς Μυρτίας Γρηγόριος, ἀφῆκε τὴν ὑγίειαν τῆς σῆς λογιότητος, τὸν παρόντα βίον μετηλλαξάμενος τῇ κ' τοῦ παρελθόντος ἰανουαρίου. Ὡσαύτως καὶ ὁ ἀπὸ τὸν Ἅγιον Σώζοντα πνευματικὸς ὁ Γερμανός, καὶ αὐτὸς τῇ κ' τοῦ παρελθόντος νοεμβρίου, καὶ ὁ Παλαιῶν Πατρῶν μητροπολίτης Ἀρσένιος.

Ἐξ Ἀνατωλικοῦ, ,αψιβ' ἐλαφηβολιῶνος ι'.

Τῆς σῆς λογιότητος ἀδελφὸς καὶ μαθητής, Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

Πέμπω αὐτῇ καὶ παρὰ μικρὸν δῶρον, ἑπτὰ μαργιόλας παραγεμιστὰς σὺν τέσσαρσιν ὠταρίχοις, αὐτὸς γευθεὶς καὶ ὑγιαίνων.

23

Ἁγ. Παντελ. 693, φ. 193α (ἐπιστ. ιη')

Προσφιλέστατέ μοι κὺρ Δημήτριε Κυριτζόπουλε, χαίροις.

Ἐξ οὗπερ ἐνέτυχον τοῦ τιμίου αὐτῆς γράμματος, τὸ κατὰ τὴν α' ἤδη τοῦ προαπελθόντος μαρτίου ἐγχειρισθέν μοι, οὐκέτι τὴν προσήκουσαν αὐτῇ ἐποιησάμην ἀπάντησιν ἕνεκα πολλῶν, διά τε τὴν πρὸς τὸν ἡμέτερον ἀδελφὸν καὶ καθηγητὴν ἄφιξιν, καὶ διὰ τὴν στέρησιν τῶν διακομιστῶν διὰ τὸ μάκρος τῶν σεδίων. Τανῦν δὲ ἐπεὶ ἐνέτυχον τοῦ ἐκλαμπροτάτου γαμβροῦ τοῦ ἡγεμόνος Λουδαρέκα, οὗ τὴν ἀπόλαυσιν ἐκ πολλοῦ ἐπόθουν, ποιοῦμαι τὴν αὐτὴν ἤδη γεγηρακυῖαν μὲν τῆς πολυκαιρίας, νεάζουσαν δὲ τῆς πρὸς ἀλλήλους φιλότητος. Δηλοῦμαι δὲ αὐτῇ δι' αὐτῆς τήν τε ἡμετέραν ὑγίειαν, καὶ τὴν τοῦ διδασκάλου εἰσέτι, ὅστις ὑγιαίνων ὑπάρχει, ἀλλ' οὖν ἐνοχλεῖται καὶ οὐκ ὀλίγον παρὰ τῶν ἐκεῖσε ποτὲ μὲν φυλα-



Δεῖγμα γραφῆς κώδ. Ἁγίου Παντελεήμονος 693, φ. 185α (ἀρχὴ τῶν ἐπιστολῶν τοῦ Ἀθανασίου).

ΠΙΝ. Β΄



Δεῖγμα γραφῆς κώδ. Ἁγίου Παντελεήμονος 781, φ. 213[β].

ΠΙΝ. Γ΄



Ἁγ. Παντελ. 693, φ. 180[α]. Μνεία θανάτου τοῦ Ἀθανασίου.



Ἁγ. Τριάδος 30, φ. 37β-38α, «ἐπιτάφια ἡρωελεγεῖα» Ἀναστασίου τοῦ Γορδίου.

κτόρων τοῦ τόπου φαινομένων, ποτὲ δὲ καὶ τὰ τῆς ληστείας μετερχομένων, ὡς ἐξ ὧν πρὸς τὸν ἡγεμόνα γράφω γνώσει σαφέστερον. Καὶ διακομιστῶν αὖθις ἐπιτυχών, τὰ κατὰ σὲ δι' ὑμετέρου αὐτῆς γράμματος δήλωσον. Ἔρρωσο

Ἐξ Ἀνατωλικοῦ, ,αψιβ' μεταγειτνιῶνος β' μεσοῦντος.

Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος, εὐχέτης σου.

24

Ἁγ. Παντελ. 693, φ. 193β - 194α (ἐπιστ. ιθ')

193β *Ἐκλαμπρότατε καὶ ἐνδοξότατε αὐθέντα κολονέλλε Ἰωάννη Λουδαρέκκα, τὴν ἐκλαμπρότητά της δουλικῶς προσκυνῶ.*

Ἐρχόμενος εἰς ταῦτα τὰ μέρη ὁ ἐκλαμπρότατος γαμβρὸς αὐτῆς, ἐμάθαμεν δι' αὐτοῦ τὴν ὑγίειαν τῆς σῆς ἐκλαμπρότητος, καὶ πολλὰ τὸ ἐχαρήκαμεν, καὶ τὸ περισσότερον ὁποῦ ἀξιωθήκαμε νὰ γνωρίσωμεν καὶ ἡμεῖς τὸν αὐτόν, ὁποῦ ἐπιθυμούσαμεν πολλὰ νὰ τὸν ἰδοῦμεν ποτέ. Ἀλλὰ δὲν ἐστάθηκεν εἰς τὰ μέρη ἐτοῦτα τοῦ Ἀνατωλικοῦ πολλαῖς ἡμέραις νὰ τὸν γνωρίσωμεν καλλίτερα καὶ ἡμεῖς τὸν αὐτὸν καὶ αὐτὸς ἡμᾶς, ἐπειδὴ καὶ ἔτυχαν κάποιαις ἀκαταστασίαις κατὰ τὸν καιρὸν ὁποῦ ἐκοπίασε (ταῖς ὁποίαις λογιάζω νὰ ταῖς ἔμαθε) καὶ μὲ τὸ νὰ τοῦ ἄρεσε καλλίτερα τὸ Μεσολόγκιον ἐστάθηκεν ἐκεῖ. Τώρα πάλιν, ἔχοντας γνώμην νὰ γυρίσῃ ὀπίσω εἰς αὐτὰ τὰ μέρη, κάμνοντας καὶ ἐγὼ τὸ χρέος μου, ἰδοὺ ὁποῦ τῆς γράφω τὸ παρόν. Καὶ πρῶτον μὲν τὴν προσκυνῶ, μετέπειτα δὲ τῆς φανερώνω τὴν ὑγείαν μου, καὶ προσέτι τὴν τοῦ διδασκάλου τοῦ ἡμετέρου ἀδελφοῦ, πρὸς τὸν ὁποῖον ἐπῆγα μετὰ τὴν ἄνοιξιν καὶ τὸν ἔσμιξα, καὶ ἔγινε μὲ τὸ θέλημα τοῦ Θεοῦ καλά. Ἔστωντας καὶ νὰ ἔλαβε τὴν ὑγείαν του ὡσὰν καὶ πρότερον, ὁ ὁποῖος ἤθελε νὰ τῆς γράψῃ καὶ κανένα γράμμα νὰ τὴν προσκυνήσῃ, ἀλλὰ ἦτον μεγάλη σύγχυσις ἀπὸ τοὺς κλέπτας, οἱ ὁποῖοι ἦσαν ἐκεῖνοι οἱ ἴδιοι ὁποῦ ἦσαν καὶ φυλακάτορες τοῦ τόπου, κάμνοντές το τοῦτο διὰ νὰ φοβηθοῦν τὰ χωρία διὰ τῆς κλεψίας αὐτῶν εἰς τὸν καιρὸν τοῦ Μοσχολουρίου νὰ τοὺς βάλουν πάλιν ἀρματωλούς, ἀπὸ τοῦτο ἐμποδίσθη καὶ δὲν τῆς ἔγραψεν, ἐπειδὴ καὶ ἀλλοῦ εἶχε τὴν κατοικίαν του, καὶ ἀλλοῦ ἐξενύκταε, καὶ τὴν παρακαλεῖ νὰ τὸν συμπαθήσῃ. Τοῦτο τὴν παρακαλῶ καὶ ἐγώ, νὰ φυλάττῃ εἰς τοῦ λόγου του ἐκείνην τὴν προτίτερην ἀγάπην ὁποῦ εἶχεν εἰς τοῦ λόγου μου, καὶ νὰ μὴν λείπῃ νὰ
194α *μαθαίνω τὴν ὑγείαν της, / τὴν εὐτυχίαν της, τὴν ὁποίαν τὴν ἐπιθυμῶ πολλὰ καὶ κάμνων της τέλος, τὴν προσκυνῶ.*

Ἐξ Ἀνατωλικοῦ, ,αψιβ' ἰουλίου ιβ'.

Τῆς σῆς ἐκλαμπρότητος φίλος πιστὸς καὶ ἠγαπημένος, Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

25

῾Αγ. Παντελ. 693, φ. 194αβ (ἐπιστ. κ΄)

Τῷ λογιωτάτῳ καὶ σοφωτάτῳ διδασκάλῳ, ἡμετέρῳ ἀδελφῷ καὶ καθηγητῇ, κυρίῳ κυρίῳ ᾿Αναστασίῳ, τὴν ὀφειλομένην αἰδῶ καὶ προσκύνησιν.

Διὰ τῆς πρὸς τὰ ἐνταῦθα καταβάσεως Θεοδώρου τοῦ γέροντος, ἔλαβον καὶ τανῦν τὸ τίμιον γράμμα τῆς σῆς λογιότητος, καὶ οὐ μετρίως, ἐχάρην μαθὼν τὰ κατ' αὐτήν. Ἴσθι οὖν ὡς καὶ αὐτὸς ἔγωγε ὑγιῶς ἔχω τῇ τοῦ παναγάθου Θεοῦ διατηρήσει, καὶ ταῖς σαῖς ἱεραῖς πρὸς αὐτὸν εὐχαῖς. Τὸ γράμμα τὸ φιλικὸν ὃ πρὸς τὸν δεῖνα πέπομφεν, ἐν αἷς τῶν ἡμερῶν ὁ τοῦτο διακομίζων σὺν τῷ ἡμετέρῳ διεκόμισεν, ἐπείπερ αὐτὸς οὐκ ἐνέτυχον εἰς τὰ τῇδε, (ἔλειπον γὰρ εἰς τὴν ἱερὰν μονὴν τῆς Μυρσίνης, χάριν τῆς τῶν Εἰσοδίων ἑορτῆς τῆς Θεομήτορος) ἔλαβεν αὐτὸ ἡ ᾿Αλτάνη καί, πρὶν τῆς ἡμετέρας ἐκεῖσε ἐπιστροφῆς, διακομιστῶν προσφόρων ἐπιτυχοῦσα ἐκείνη, ἔπεμψεν αὐτὸ εἰς τὸν αὐτόν, καὶ δεχθήσεται αὐτὸ ἀναμφιβόλως ἐκεῖνος.

Διὰ δὲ τὰ πραχθέντα παρὰ τῶν μιαρῶν ᾿Ιουδαίων ἐν Ζακύνθῳ ὧν ἐφίεται μαθεῖν, ἔχουσιν οὕτω: τὸν φόνον τοῦ παιδὸς ἐκείνου τελέσαντες οἱ παράφρονες, ὡς ἐγχώριοι τῶν χριστιανῶν εἰς ὕβριν μεγάλην ἐτοῦτο τὸ πρᾶγμα νομίσαντες, ἄνευ τινὸς ἀδείας αὐθεντικῆς, μεγάλῃ τῇ ὁρμῇ πολλὴν καταφθορὰν κατ' ἐκείνων ἐπράξαντο, οὐ μόνον τοῖς ἁπλοῖς οἴκοις τῶν αὐτῶν, ἀλλὰ καὶ τοῖς εὐκτηρίοις ἀκμήν. Ὧν τὸ πρὸς αὐτοὺς μὴ ὑποφέροντες οἱ πρόκριτοι ἐκείνων, ἔδραμον πρὸς τὴν τῶν ῾Ενετῶν δικαιοσύνην, ἵνα ἐξ ἐκείνων δικαιοσύνης τινὸς ἐπιτύχωσι καὶ τὸ διαρπαγὲν
194β *πρᾶγμα αὐτῶν / ἐπαναλάβωσιν, οἱ δὲ ὑποδεέστεροι ἐκείνων οἵτινες ἵνα μὴ τελείως ἐκβληθῶσιν ἐκ Ζακύνθου, πολλὰς τῷ ναυάρχῳ ἐκεῖσε ὄντι τὰς δεήσεις ποιήσαντες, καὶ δαπάνας οὐ σμικρὰς ἀποκρύφους πρὸς αὐτὸν καταναλώσαντες, ἔδωκεν αὐτοῖς ἴδιόν τινα τόπον κατ' ἰδίαν εἰς κατοικίαν αὐτῶν, ἐκεῖσε περικλείσας, ὡς καὶ τοὺς ῾Ενετίαζε ᾿Ιουδαίους. Τοὺς δὲ καταδραμόντας ἐν τῇ ἀριστοκρατίᾳ ἔπεμψεν ἐκεῖνος πρὸς τὸν τῆς Ζακύνθου ἐπιτηρητήν, καὶ τὸν ναυάρχην τῶν αὐτῶν, ἵνα τὴν πρὸς αὐτοὺς δικαιοσύνην ἐκτελέσωσι. Καὶ ἀνακρίναντες οἱ αὐτοὶ περὶ τοῦ πράγματος αὐτῶν, πολλοὺς τῶν Ζακυνθίων παιδεύσαντες, ἔλαβον μέρος τι, ἀλλ' οὔπω ἐπληρώθη αὐτῶν ἡ ὑπόθεσις ἄχρι τοῦ νῦν .*

Προέπεμψα αὐτῇ καὶ ἄλλο γράμμα διά τινος Πετρηλλιώτου Καρᾶ ἐπονομαζομένου, ἀλλ' οὐκ οἶδ' εἰ ἐνέτυχεν ἐκείνου, πρὸς ὃ ἐδήλουν αὐτῇ, καὶ τὸν θάνατον τοῦ μακαρίτου παπᾶ Κανέλλου, ὅστις ἀφῆκε τὴν ὑγείαν τῆς σῆς λογιότητος πρὸ ὀλίγων ἡμερῶν. Ἅπαντες οἱ ἐν τῇ νήσῳ ταύτῃ οἰκοῦντες προσκυνοῦσι δι' ἐμοῦ τὴν σὴν λογιότητα, εὑρισκόμενοι εἰς μεγάλην δυστυχίαν ἀπὸ τὰ ἀνυπόφορα βάρη τῶν κρατούντων αὐτῶν βαρβάρων. Ταῦτα μὲν καὶ ἡ εὐχὴ τῆς σῆς λογιότητος εἴη μετ' ἐμοῦ. Προσαγορεύω δι' αὐτῆς τὸν Βιτάλιον ἀναγνώστην καὶ τὴν Φέγγων τὴν ἀδελφήν μας, ἐξ ἧς ἔλαβον καὶ τοὺς πλεκτοὺς πίλους, καὶ τὴν εὐχαρίστησα ὅσον τὸ ἐπ' ἐμοί. Πέμπω αὐτῇ μικρόν τι δῶρον τέσσαρας μαργιόλας, καὶ τοσαῦτα ὠοτάριχα, καὶ μερικὴν ἀσταφίδα, καὶ τριάκοντα δυάδας σύκων, καὶ ἰσαρίθμους ἀμυγδάλων, σὺν καί τινι συκομαΐδι.

᾿Εξ ᾿Ανατωλικοῦ, ͵αψιβ' ἀνθεστηριῶνος θ' φθίνοντος.

Τῆς σῆς λογιότητος ἀδελφὸς καὶ μαθητής, ᾿Αθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

26

῾Αγ. Παντελ. 693, φ. 195α (ἐπιστ. κα΄)

195α *Τῷ λογιωτάτῳ καὶ σοφωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι καὶ προσφιλεστάτῳ μοι ἐν Χριστῷ ἀδελφῷ κυρίῳ κυρίῳ Χριστοφόρῳ, εὖ πράττειν.*

Διὰ τοῦ ἡμετέρου γαμβροῦ Γεωργούση τοῦ καταβάντος εἰς τὰ τῇδε ἐκ τῶν αὐτόθι δι' ἰχθυϊκὴν ἐμπορίαν, ἔλαβον τὴν τιμαλφεστάτην πρὸς ἐμὲ ἱερὰν αὐτῆς πυκτίδα, οὐ παρὰ τοῦ διακομίσαντος τὴν αὐτὴν ἤδη (διὰ τὸ μὴ τετυχηκέναι με ἤδη εἰς τὰ ἐντεῦθεν ὅτε ἐκεῖνος παραγέγονε) ἀλλὰ διὰ τῆς πνευματικῆς ἡμῶν μητρὸς κυρίας ᾿Αλτάνης, καὶ σὺν αὐτῇ τὰ σανδάλια μετὰ τῶν μεστίων καὶ τῶν πλεκτῶν πίλων καὶ τὰ λοιπὰ καρυκεύματα ἀκμὴν τὰ τῶν [...] ἀρτύματα καὶ χάριν οἶδά σοι διά τε τὸ πρὸς ἐμὲ αὐτῆς φίλτρον, καὶ τὴν δι' αὐτῶν πεῖραξιν. ᾿Επεὶ δὲ τότε τῆς προσηκούσης οὐκ ἐνέτυχον ἀπαντήσεως διὰ τὸ ἀπόδημον εἶναί με, ὡς ἔφην εἴς τινὰ τῶν [...] μονήν, χάριν προσκυνήσεως τῆς τῶν Εἰσοδίων ἑορτῆς τῆς Θεομήτορος, ποιοῦμαι αὐτῇ τανῦν διὰ τοῦ παρόντος Κώνστα φημὶ τοῦ ἱερόπαιδος τοῦ ἐκ τῆς ἐμῆς πατρίδος, τούτου ἕνεκα κἀκείνου καταβάντος, ἐμφαίνων αὐτῇ τήν τε ἡμετέραν ὑγίειαν, καὶ πρὸς τούτοις καὶ αὖθις ἐπιτυχεῖν τῶν ἱερῶν αὐτῆς γραμμάτων παρακαλῶν αὐτήν. Ἔρρωσο.

῾Ο Καλόγερος σὺν τῇ αὐτοῦ μητρὶ καὶ συνοδίᾳ καὶ τέκνοις ἀσπάζεται δι' ἐμοῦ τὴν σὴν λογιότητα. ῾Ωσαύτως ἀσπάζομαι κἀγὼ δι' αὐτῆς πάντας τοὺς σὺν αὐτῇ εὑρισκομένους ἐν Χριστῷ ἀδελφοὺς κατ' ὄνομα. Πέμπω αὐτῇ, εἰς δήλωσιν φιλίας εἰλικρινοῦς, ἓξ μαργιόλας σὺν τρισὶν ὠοταρίχοις καὶ μερικῇ ἀσταφίδι καὶ σύκοις καὶ ἀμυγδάλοις καὶ μιᾷ συκομαΐδι.

᾿Εξ ᾿Ανατωλικοῦ, ͵αψιβ' ἀνθεστηριῶνος ι' φθίνοντος.

Τῆς σῆς λογιότητος ἐν Χριστῷ ἀδελφός, Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

27

Ἁγ. Παντελ. 693, φ. 195β (ἐπιστ. κβʹ)

195β *Θεοφιλέστατε ἐπίσκοπε τῆς ἁγιωτάτης ἐπισκοπῆς Ῥογῶν καὶ Κοζύλης, καὶ τοῦ πανιερωτάτου Ἄρτης γνήσιε ἐπίτροπε καὶ ἡμέτερε αὐθέντα καὶ δέσποτα σεβασμιώτατε, κύριε κύριε Παρθένιε, τὴν σὴν Θεοφιλίαν δουλικῶς προσκυνῶ καὶ τὴν ἁγίαν αὐτῆς δεξιὰν πανευλαβῶς ἀσπάζομαι.*

Καὶ παρὰ τῆς σῆς θεοφιλίας ἀγαθῇ τύχῃ τῇ γʹ τοῦ νῦν τρέχοντος μηνὸς ἐγχειρισθεῖναί μοι ἱερὰν δέλτον, ὡς παρὰ ἀρχιερατικῆς μορφῆς πεμφθεῖσαν ἐμοί, τῇ προσηκούσῃ αἰδοῖ καὶ εὐλαβείᾳ αὐτὴν ἠσπασάμην, καὶ τῇ τῆς ἐμῆς κεφαλῆς κορυφῇ αὐτὴν ἀνεθέμην, τῷ τε Θεῷ εὐχαριστηρίους ᾠδὰς ἀνέπεμψα, τῷ τοιούτου με φίλου ἐπήβολον γενέσθαί με ἀξιώσαντι, καὶ τῇ σῇ θεοφιλίᾳ χάριτας οὐ τὰς τυχούσας ὡμολόγησα, διὰ τὴν πρὸς ἐμὲ ἀγάπην αὐτῆς· καὶ γὰρ ἔγνων δι᾽ αὐτῆς ἄδολον καὶ καθαρὰν τὴν ἐμὴν φιλίαν ἐνδομυχεῖν τῇ καρδίᾳ αὐτῆς, πρὸς ἣν εἴσεται κἀμὲ αὐτὸν οὕτως ἔχοντα καὶ ὅτι μᾶλλον εἰ εἴποιμι οὐκ ἂν ψευσθείην ἤδη. Ὅμως ἐπεθύμουν καὶ οὐ μικρόν, ἔχειν τινὰ εἴδησιν καὶ διὰ τὸν πανιερώτατον αὐτῆς γέροντα καὶ ἡμέτερον δεσπότην καὶ αὐθέντην, καὶ εἰ φίλον αὐτῇ μὴ ὑστερηθείην τῆς αὐτῆς διὰ τῶν ἱερῶν αὐτῆς γραμμάτων τῶν ἐς τὸ μετὰ ταῦτα. Ταῦτα μέν, καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς σῆς θεοφιλίας εἴη μετ᾽ ἐμοῦ διὰ παντός.

Ἐξ Ἀνατωλικοῦ, ͵αψιβʹ νοεμβρίου ιεʹ.

Τῆς σῆς θεοφιλίας ταπεινὸς δοῦλος, Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

28

Ἁγ. Παντελ. 693, φ. 196αβ (ἐπιστ. κγʹ)

196α *Τῷ λογιωτάτῳ καὶ σοφωτάτῳ διδασκάλῳ καὶ ἡμετέρῳ ἀδελφῷ καὶ καθηγητῇ κυρίῳ κυρίῳ Ἀναστασίῳ, εὖ πράττειν.*

Ἐν ἀθυμίᾳ διεκείμην (καὶ νὴ Δία οὐ σμικρᾷ), ὑπὲρ τῆς σῆς λογιότητος, ὡς μήπω τῆς διὰ γράμματος αὐτῆς ὁμιλίας εἰς τὸ τοσούτου χρόνου διάστημα τετυχηκώς, καὶ οὐκ ὀλίγας ὑπενόουν τούτου ἕνεκα ὑπονοίας,

εὖτε καὶ κακῶς ὡς φάναι ἐχούσας. Ἐπεὶ δὲ τανῦν ἐνέτυχον τοῦ ἐξαίφνης παρ᾽ αὐτῆς, διὰ τοῦ πρὸς ἡμᾶς παραγεγονότων ἀγωγίμων ἀνδρῶν Νεοχωριτῶν γράμματος, τήν τε ἀθυμίαν κατὰ τὸν εἰπόντα πόῤῥω Διὸς καὶ κεραυνοῦ ἀπέῤῥιψα, καὶ σὺν αὐτῇ πάσας τὰς ἃς ὑπενόουν περὶ αὐτῆς ὑπονοίας. Διὰ δὲ τὴν ἄμετρον λύπην, ἣν ὑπέστη ὡς ἐδήλου μοι, διὰ τὸν θάνατον τοῦ μακαρίτου Κυρίτζη φημὶ καὶ Ἀρμάγου, μήδ᾽ αὐτὸς εὖ ἴσθι ἐγενόμην τε παράπαν ἄμοιρος τῆς αὐτῆς, ὡς ἡμετέρων συμπατριωτῶν καὶ ἀξίων ἀνδρῶν τυγχανόντων. Ἀλλὰ τί δεῖ ἡ ἄμετρος λύπη ὑπὲρ τῶν τεθνεώτων ἡμῖν; Καὶ μᾶλλόν γε τῇ σῇ λογιότητι τὸν τοῦ θανάτου ὅρον εἰδυῖα καὶ αὐτὰς ἤδη τὰς τῆς ζωῆς καὶ τοῦ θανάτου ὁροθεσίας, παρὰ τοῦ τὰ πάντα κρατοῦντος, τοῦτο μόνον λυσιτελεῖ ὑπὲρ ἐκείνων παρ᾽ αὐτῆς, δέησις συνεχὴς πρὸς τὸν Θεὸν ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν αὐτῶν ἐν τόπῳ φαιδρῷ καὶ φωτεινῷ, καὶ δοξολογία αὐτῷ οὕτως εὐδοκίσαντι περὶ ἐκείνων. Τὰ διὰ τὴν ἁγίαν Μαῦραν πεφθέντα μοι παρ᾽ αὐτῆς γράμματα, εὐθὺς διὰ πιστῶν καὶ γνωρίμων διακομιστῶν ἔπεμψα πρὸς οὓς ἔγραφον, ἐφοδιάσας ταῦτα καὶ ἡμετέροις διὰ πλείονα ἀσφάλειαν. Τοὺς δὲ διακομιστὰς τῶν τιμίων αὐτῆς γραμμάτων, οὓς διεκέλευέ μοι συστῆσαι ἐλεημο-
196β *σύνης χάριν πρὸς οὓς ἂν δυνηθείην, εἰ μὲν τὰ τῇδε καλῶς ἔ/πραττον, ὡς καὶ ἄλλοτέ ποτε ἐν εὐδαιμονίᾳ ἐτύγχανον, οὐ κατώκνουν ποιῆσαι πρὸς αὐτοὺς τὰ εἰκότα ὅσον τὸ ἐπ᾽ ἐμοί, καὶ διὰ τὴν τῆς σῆς λογιότητος προτροπήν. Ἀλλὰ ταῦτα μὲν ἤδη λίαν πονηρῶς διάγουσι καὶ οἱ ἐν αὐτοῖς οἰκοῦντες πλείονος αὐτῶν ἐλέους τυγχάνουσιν ἄξιοι ὡς καὶ αὐτὴ ἐπίσταται, τὴν κατάστασιν τῶν αὐτῶν μὴ ἀγνοοῦσα. Εἰ δὲ καὶ εὐδαιμόνως διάγουσί τινες, ἀλλ᾽ ἐς τὴν τῶν πολλῶν δυσπραγίαν ἀποβλέποντες, κἀκεῖνοι τὴν τούτων πήραν ἅμμασι μυρίοις, ὡς λέγεται, περισφίγγουσιν. Ἔῤῥωσο.*

Οἱ ἐκ πολλοῦ τῇ σῇ φιλίᾳ προσῳκειωθέντες, καὶ τῆς αὐτῶν μνήμης αὐτὴν μὴ ἀπαλλοτριώσαντες, ἀσπάζονται αὐτὴν δι᾽ ἐμοῦ πανευλαβῶς, ἐξαιρέτως ὁ κὺρ Ἰωάννης ὁ Καραντινός. Ὁμοίως χαιρετῶ κἀγὼ δι᾽ αὐτῆς τὴν ἀδελφὴν ἡμῶν Φέγγων, καὶ μητρυιάν, καὶ τὸν Βιτάλιον. Πέμπω αὐτῇ καὶ ἕνα γράμμα τοῦ κολονέλλου Λουδαρέκκα, ὃς ταῖς προαπελθούσαις τῶν ἡμερῶν τῷ Ἁγίῳ Σώζοντι προσορμίσας καὶ τούτῳ συνομιλήσας, ἔπεμψεν αὐτῇ τὸ παρόν, ζητῶν καὶ παρ᾽ αὐτῆς τὴν προσήκουσαν ἀπάντησιν. Πέμπω αὐτῇ προσέτι καὶ χάρτας πεντήκοντα εἰς δέκα μοίρας διῃρημένους, ἑκάστη τούτων ἀνὰ πέντε ἔχουσα.

Ἀνατωλικόθεν, ͵αψιβʹ πυανεψιῶνος γʹ μεσοῦντος.

Ὁ σὸς μαθητὴς καὶ ἀδελφός, Ἀθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

ΣΧΟΛΙΑ ΣΤΙΣ ΕΠΙΣΤΟΛΕΣ

ἐπιστ. 1

Περὶ τῶν ἱερομονάχων εἰ ἐφίεται μαθεῖν τι. Βλ. καὶ τὴν σημ. 13 πιὸ πάνω. Ἡ ἐπιστολὴ αὐτὴ τοῦ Ἀθανασίου εἶναι ἡ μόνη, ἀπὸ ὅσες ἔχουμε, στὴν ὁποία γίνεται νύξη γιὰ τὸ ἐπεισόδιο. Οἱ ἐπιστολὲς τοῦ Ἀναστασίου Γορδίου ἀπὸ τὸ Ἀνατολικό, πρὸς τὸν ἀδελφό του, εἶναι περισσότερο διαφωτιστικές. Ἂς δοῦμε τί μᾶς πληροφοροῦν, χρονολογικά:

— ,αχϟθʹ μαΐου ιθʹ (*Ἁγ. Παντελ. 693*, φ. 151αβ). Λαβαίνει γράμμα τοῦ Ἀθανασίου τὸ ὁποῖο τοῦ «φανερώνει τραγῳδίαν ὅλην, ἢ καθὼς λέγουσιν Ἰλιάδα κακῶν. Τοῦτο μὲ ἐτάραξεν οὐκ ὀλίγον...».

— ,αχϟθ ἰουνίου ιγʹ (φ. 152α) «Ὁ παπᾶ Εὐγένιος [ἴσως ἡγούμενος τῆς μονῆς Τατάρνας καὶ ἐπὶ κεφαλῆς τῆς ἀποστολῆς τῶν μοναχῶν] μοῦ ἔγραψεν ἀπὸ τὴν Ἁγίαν Μαῦραν, φανερώνοντάς μου πῶς τοὺς ἐσεκβεστράρησαν εἰς τὸ κάστρον...» καὶ περιμένουν τὴν ἀπόφαση τοῦ «καπιτὰν γενεράλη», ὁ ὁποῖος βρίσκεται στὸ Ναύπλιο, ὅπου βρίσκεται καὶ ὁ κολονέλος [πιθανότατα ὁ Ἰ. Λουδαρέκας].

— ,αχϟθʹ ἰουνίου κʹ (φ. 152β) Σκέφτεται ὅτι πρέπει ν' ἀπευθυνθοῦν πρὸς «τὸν πανιερώτατον [τὸν ἐπίσκοπο Λιτζᾶς καὶ Ἀγράφων Διονύσιο (1693-1730 — Π. Βασιλειου, *Ἐπισκοπὴ Λιτζᾶς καὶ Ἀγράφων*, Ἀθῆναι 1960, σ. 155-158)] νὰ κάμῃ τίποτε τρόπον νὰ δοθοῦν τὰ ἄσπρα, νὰ ἐλευθερωθοῦν καὶ ἐκεῖνοι οἱ ταλαίπωροι, διατὶ κατὰ ἄλλον τρόπον δὲν θέλουν ἰδῇ ἐλευθερίαν, μάλιστα ὁ παπᾶ Εὐγένιος κινδυνεύει νὰ χαθῇ καὶ πρὸ τῆς ἐλευθερίας...»

— ,αχϟθʹ αὐγούστου βʹ (φ. 153α) Ὁ καπιτὰν γενεράλης ἔχει δώσει ἐντολὴ νὰ γίνει δίκη. ἀλλὰ δὲν ὑπάρχει ἀκόμη κάποια πληροφορία γιὰ τὸ ἀποτέλεσμα· «ἐσὺ καλὰ λέγεις πῶς ἐῤῥύσθης τῆς εἱρκτῆς ὡς τὸν Πέτρον, ἀλλὰ πρέπον νὰ παρακαλῇς τὸν Θεὸν καὶ διὰ τοὺς ἄλλους ...».

— ,αχϟθʹ αὐγούστου στʹ (φ. 154αβ) Ἔγινε ἡ δίκη καὶ «ἀπαιτεῖται τὸ χρέος... ἐζήτησεν ὁ κριτὴς ἐγγύησιν· δὲν εὑρέθη τινάς ... Ἔγραψα τοῦ πανιερωτάτου ... Οὐκ ἔξεστιν ἄλλως ποιῆσαι, εἰ μὴ ἀποδοῦναι τὸ χρέος ...».

— ,αχϟθʹ αὐγούστου ζʹ (φ. 155α) «[Ὁ πανιερώτατος] ἂς σπουδάξῃ τὸ ὀγληγορώτερον, ἂν θέλῃ νὰ τοὺς ἔχῃ, νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ κεῖ ὅτι χάνονται ἐς τὴν Ἀκεσαίου σελήνην...» [παροιμία γι' αὐτοὺς ποὺ ἀναβάλλουν νὰ κάνουν κάτι].

— ,αχϟθʹ σεπτεμβρίου εʹ (φ. 155β) «Τώρα κινδυνεύουν καὶ ἀπὸ πεῖναν ... Δὲν ἠξεύρω τί γνώμην ἔχει ὁ πανιερώτατος περὶ τούτων· λέγω τὴν ἐνδιάθετόν του γνώμην, ὄχι ἐκείνην ὁποῦ φανερώνει εἰς τὰ γράμματά του πρὸς ἕνα καὶ ἄλλον· ἰδὲς νὰ τὴν γνωρίσῃς...».

— ,αχϟθʹ σεπτεμβρίου ιεʹ (φ. 156αβ) «Ὁ δεσπότης καὶ φρονεῖ καὶ λέγει, καθὼς μοῦ γράφεις...».

— ,αχϟθʹ νοεμβρίου ιβʹ (156β) Ὁ Ἀναστάσιος Γόρδιος στέλνει τὸν χαιρετισμό του στὸν «πνευματικὸ κὺρ Γαβριὴλ καὶ τὸν παπᾶ Παχώμιον καὶ τὸν παπᾶ κὺρ Εὐγένιον». «Θαυμάζω πῶς δὲν μοῦ ἔγραψεν ἀπὸ τὴν Ἁγίαν Μαῦραν ὅταν ἔμελλε νὰ μισεύσῃ ἀπ' ἐκεῖ...».

Φαίνεται ὅτι λίγο μετὰ τὸ γράμμα τῆς 15ης Σεπτεμβρίου καταβλήθηκε τὸ ποσὸ τοῦ χρέους καὶ οἱ μοναχοὶ ἐπέστρεψαν, περίπου στὶς ἀρχὲς τοῦ Νοεμβρίου στὸ μοναστήρι τους.

Ἀνατωλικό· κατὰ τοὺς αἰ. 17ο/18ο, εἶναι ἡ συνήθης ὀρθογραφία γιὰ τὸ τοπωνύμιο, τὸ σήμερα γνωστὸ ὡς Ἀνατολικὸ (ἐπίσημη ὀνομασία) ἢ Ἀντελικὸ (τρέχουσα λαϊκή)· συναντοῦμε ἐπίσης τὶς ὀνομασίες Αἰτωλικό, Ἀγγελικό.

Ἡ κωμόπολη σχηματίστηκε στὰ μέσα τοῦ 17ου αἰ. Ὁ Ἀναστάσιος Γόρδιος (Βίος Εὐγενίου Αἰτωλοῦ, στὸν Κ. Σαθα, *Μεσαωνικὴ Βιβλιοθήκη*, τόμ. Γʹ, Βενετία 1872, σ. 424) δίνει τὴν τοπογραφία τῆς περιοχῆς καὶ μιὰ συζητήσιμη ἐτυμολογία: «...κῶμαι δέ τινες μόναι εἰσὶν ἀπολελειμμέναι, λίαν συνεσταλμέναι· δύο μὲν αὗται κατὰ μεσόγαιον Ζαπάντη καὶ Βραχώρη [ἀναφέρονται συχνὰ στὶς ἐπιστολὲς] βαρβαρικῶς οὕτω καλούμεναι, δύο δὲ κατὰ θάλατταν, ἡ μὲν *Ἀνατωλικὸν (ὡς τῇ ἄνω Αἰτωλίᾳ, εἰ οὕτως ἐτυμολογηθείη, συναπτόμενον)* καλουμένη, πρότερον μὲν παραθαλάσσιος οὖσα, ὡς ἔστιν ἰδεῖν ἐκ τῶν φαινομένων αὐτῆς ἰχνῶν ἥτις ἐγχωρίως Ἔξω Χώρα καλεῖται, τανῦν δὲ ἐπὶ λυπρᾶς τινος καὶ βραχείας νήσου κειμένη· ἡ δέ, Μεσολόγκιον οὕτω καλεῖται, καὶ τὴν θέσιν ἔχει παρὰ τὴν θάλατταν. μέσον δὲ τῶν τεττάρων τούτων κωμῶν, καὶ φρούριόν τι ἐπὶ περιωπῆς τινος κεῖται τὴν τοῦ Ἀγγέλου κλῆσιν ἐπιφερόμενον, καὶ Ἀγγελόκαστρον οὕτω καλούμενον, Ἀγγέλου οἶμαι κτίσμα τοῦ Κομνηνοῦ, καὶ τούτου τὸ πλεῖστον μέρος ἐρείπιον, καὶ παντάπασιν ἠρημωμένον, ἐκ θατέρου δὲ μόνον μέρους τῶν ὑπὸ κάτωθεν ὀλίγων οἴκων περιγραφῇ κυκλούμενον, καὶ ἀγροῦ σχῆμα διασῶζον».

ἐπιστ. 3

Ὁ παραλήπτης τῆς ἐπιστολῆς «πανοσιώτατος καὶ λογιώτατος» *Ἰωακείμ*, πρέπει νὰ ἦταν ἕνας διδάσκαλος τοῦ Ἀθανασίου «ἐν τῇ τῶν παίδων ἡλικίᾳ ὄντος», ἴσως πρὶν νὰ μαθητεύσει κοντὰ στὸν Εὐγένιο Γιαννούλη καὶ τὸν ἀδελφό του Ἀναστάσιο Γόρδιο. Δὲν ταυτίζεται μὲ τοὺς γνωστοὺς ὁμώνυμους διδασκάλους.

ἐπιστ. 4

Ἡ ἐπιστολὴ παραδίδεται στὸν κώδικα ἀνεπίγραφη. Ἡ γειτνίαση, ὅμως, τῶν ἐπιστολῶν 3 καὶ 4 (α) φ. 205α «...Ἰωακείμ»· β) φ. 205β «τῷ αὐτῷ»), τὸ περιεχόμενο (ἐνδεικτικὸ καὶ στὶς δύο τῆς ἴδιας οἰκειότητας μεταξὺ ἀποστολέα καὶ παραλήπτη) καὶ ἡ ὁμοιόμορφη καταληκτήρια φράση («ὁ τῆς σῆς πανοσιότητος ὑμέτερος εἰς πάντα...») μᾶς ὁδηγοῦν νὰ σκεφτοῦμε ὅτι ἀποδέκτης τῆς ἐπιστολῆς ἦταν ὁ αὐτὸς *Ἰωακείμ*.

ἐπιστ. 5

Ἡ ἐπιστολὴ στὸν κώδικα ἀνεπίγραφη. Ὁ παραλήπτης της πρέπει νὰ εἶναι ὁ *Δημήτριος*, παραλήπτης καὶ τῆς ἐπιστολῆς 2· συντρέχουν καὶ ἐδῶ οἱ ἴδιοι λόγοι, ὅπως καὶ στὴν προηγούμενη περίπτωση: γειτνίαση τῶν ἐπιστολῶν στὸ φύλλο τοῦ κώδικα, ἀναλογία στὸ περιεχόμενο (σχολ. 4ης ἐπιστ.), ὁμοιόμορφη καταληκτήρια φράση.

ἐπιστ. 6

Χριστοφόρος ἱερομόναχος· φίλος τοῦ Ἀναστασίου Γορδίου καὶ τοῦ Ἀθανασίου, συμμαθητὴς τοῦ Ἀναστασίου, μὲ τὸν ὁποῖο, ὅπως μαθαίνουμε ἀπὸ τὴν ἀλληλογραφία τοῦ Γορδίου, μοιράστηκαν τὰ βιβλία τοῦ δασκάλου τους Εὐγενίου Γιαννούλη· βρίσκεται σὲ μοναστήρι τῆς περιοχῆς τῶν Ἀγράφων. Ὑποθέτουμε ὅτι εἶναι ὁ ἴδιος, ποὺ βοήθησε νὰ τελειώσει τὸ τέμπλο τῆς Ἁγίας Παρασκευῆς στὰ Βρανιανά: «Ἦρξε μὲν Εὐγένιος πάλαι ἔργον, ὅπως τόδε τεύξῃ, / λεῖπε δ' ὅμως ἀτελὲς δευόμενος δαπάνης, / ἀτὰρ Ἀναστάσιος μετέπειθ' ἅμα *Χριστοφόρῳ* τε / τοι ὀπαδοὶ οἱ ἔσαν τέρματι ἐν βιότου / ἄρτιον ὄφρα γένοιτο κατ' ἀμφότερ' ἰσχανόωντες / εὖ καὶ ἐπισταμένως πολλὸν ἀρειότερον / ... / τὼς ἄρα καὶ τελέλεστο Θεῷ

κεχαρισμένον ἔργον / ... / [στιχούργημα δημοσιευμένο στὸ περ. *Θεολογία ΙΑ'* (1933), σ. 326-327, ἀπὸ τὸν Κ. Ι. Δυοβουνιωτη, «'Αναστασίου Γορδίου 'Επιγράμματα»].

«Διαμαντῆ τοῦ γαμβροῦ ἡμῶν» πρώτη μνεία στὴν ἐπιστολογραφία τοῦ 'Αθανασίου.

ἐπιστ. 7

Χριστοφόρος· βλ. ὅ.π., σχόλιο ἐπιστολῆς 6.

ἐπιστ. 8

«Καὶ γὰρ τὸ παράπαν ἔγωγε ἀγύμναστός εἰμι τῆς ῥητορικῆς τέχνης, οὐ ταύτης δὲ μόνον, ἀλλὰ καὶ ἄλλων ἤδη πολλῶν χρησιμωτάτων ἐμοὶ καὶ ἀναγκαίων ἐπιστημῶν ... οὐκ ἔτυχον μαθήσεως...». Διαπιστώνουμε ἕνα κάποιο παράπονο γιὰ τὴν ἐλλιπὴ ἕως τώρα μόρφωσή του, τὴν ὁποία φροντίζει στὸ ἑξῆς νὰ τελειοποιήσει μόνος του, παραγγέλνοντας βιβλία σὲ γνωστοὺς καὶ φίλους, ἀντιγράφοντας, μελετώντας, καὶ τελικὰ διδάσκοντας.

ἐπιστ. 9

'Ο παραλήπτης *Χριστοφόρος* ὁ αὐτός, ὅπως καὶ στὶς προηγούμενες ἐπιστολὲς 6, 7, 8·

'Η ἐπιστολὴ παραδίδεται ἀχρονολόγητη· στὸν κώδικα εἶναι μεταξὺ δύο ἄλλων χρονολογημένων κατὰ μήνα 'Ιανουάριο (ἡ πρώτη) καὶ Μάρτιο (ἡ δεύτερη) τοῦ ἔτους 1706.

ἐπιστ. 10

Δημήτριος Κυριτζόπαις· δὲν ξέρουμε ἂν εἶναι ὁ ἴδιος μὲ τὸν παραλήπτη τῶν ἐπιστολῶν 2 καὶ 5.

'Ο Δημήτριος τῆς παρούσας ἐπιστολῆς εἶναι «Κυριτζόπαις», δηλ. γιὸς τοῦ Κυρίτζη. Μὲ τὸ ὄνομα *Κυρίτζης* βρίσκουμε δύο παραλῆπτες ἐπιστολῶν, ἰδίως τοῦ 'Αναστασίου Γορδίου. 'Ο ἕνας, ἀπὸ τὸ 1712 καὶ ἑξῆς, εἶναι ἱερωμένος καὶ ἀνταλλάσσει μὲ τὸν Γόρδιο σκέψεις πάνω σὲ θρησκευτικὰ θέματα. 'Ο δεύτερος, ὁ «Καλοκυρίτζης», εἶναι συμπατριώτης καὶ παιδικὸς φίλος τοῦ Γορδίου· ἔχει φύγει νωρὶς ἀπὸ τὴν «κοινὴν πατρίδα» (δὲν διαφαίνεται ἀπὸ τὶς ἐπιστολὲς σὲ ποιὰ πόλη ζεῖ)· εἶναι σὲ πολὺ καλὴ οἰκονομικὴ κατάσταση· στέλνει συχνὰ δῶρα στὸν Γόρδιο (τρόφιμα, ροῦχα κτλ.) καὶ πρόθυμα παρέχει βοήθεια στὸ χωριό του. 'Ο «Καλοκυρίτζης πρέπει νὰ πέθανε μέσα στὸ 1712 (ἐπιστολὴ τοῦ 'Αναστασίου Γορδίου πρὸς τὸν 'Αθανάσιο στὶς 13 'Οκτ. 1712: «...Οἴχεται Κυρίτζης ὁ ἐπίκλην Τζιμούρης...» *Ε.Β.Ε. 2188*, φ. 63β). Εἶναι χαρακτηριστικὰ αὐτὰ ποὺ γράφει στὴν «Καλοκυρίτζαινα» ὁ Γόρδιος (23 Νοεμβρ. 1712 — *ΕΒΕ 2188*, φ. 179αβ): «'Ο θάνατος τοῦ μακαρίτου Καλοκυρίτζη τοῦ ἀνδρός σου ... ἐλύπησε πολλὰ καὶ ἡμᾶς, ὁποῦ δὲν τὸν ἴδαμεν μεγάλον, ἀλλὰ τὸν ἰξεύρομεν μικρόν· καὶ τώρα μᾶς ἔδειξεν πολλὴν ἀγάπην ἀπὸ μακρυά, καὶ ἠλπίζαμεν νὰ τὸν ἰδοῦμεν καὶ ἀπὸ σιμά... καὶ τὴν βοήθειαν ἐκείνην ὁποῦ ἔκαμεν ἐκεῖνος ὁ μακαρίτης εἰς τὸ χωρίον τοῦτο [τὰ Βρανιανά], τὴν πατρίδα του, κάμνε την καὶ σὺ ... καὶ τὸ ἠγαπημένον σου παιδίον νὰ ἀπομείνῃ εἰς τὸν τόπον του...».

ἐπιστ. 11

Ζαχαρίας Καραντινός· πιθανότατα γιὸς τοῦ 'Ιωάννη Καραντινοῦ τοῦ Καλογέρου καὶ ἐγγονὸς τῆς «πνευματικῆς μητρὸς» (ἐπιστ. 1) τοῦ Γορδίου καὶ τοῦ 'Αθανασίου, τῆς «κυρίας

'Αλτάνης». 'Ο 'Ιωάννης Καραντινὸς καὶ ἡ μητέρα του ζοῦν στὸ 'Ανατολικό· γιὰ τὸν Ζαχαρία δὲν ξέρουμε ποῦ βρίσκεται αὐτὴ τὴν ἐποχή, σπουδάζοντας ἢ μονάζοντας.

Παραλλαγὴ τῆς ἴδιας ἐπιστολῆς μᾶς παραδίδει καὶ ὁ κώδικας *'Αγ. Παντελ. 781*, φ. 207β, καὶ μὲ διαφορετικὴ ἡμερομηνία. Τὴν παραθέτουμε:

Τῷ ὁσιωτάτῳ διακόνῳ κυρίῳ κυρίῳ Ζαχαρίᾳ, εὖ πράττειν.

'Ερωτικῶς διακεῖσθαι ὑπισχνεῖται εἰς ἀπόλαυσιν ἡμετέρων γραμμάτων, καὶ λόγοις μόνοις ψιλοῖς πειρᾶται, τουτὶ ὡς βεβαιοῦν, οὐ μήπω καὶ ἔργοις. Τούτων γὰρ ἐφιέμενος συνεχῶς, ὦ λῷστε, παρ' ἐμοῦ λαμβάνειν, οὐκ ἀδαῶς διῆγες διακομιστῶν εὐπορῶν, διὰ προσαγορευτικοῦ σου γράμματος ἐσαεὶ προσαγορεύειν με καὶ τῆς φιλικῆς διαθέσεως, ἧς εἶχέ ποτε ἐπ' ἐμὲ ἀνάμνησιν ποιεῖν· τούτῳ δὴ τῷ τρόπῳ οὐ μόνον συχνῶν παρ' ἐμοῦ γραμμάτων εὐπορήσαις, ἀλλὰ καὶ γραφίδος αὐτῶν τυχουσῶν ἀπολογηθείης. Σὺ δὲ ἐπεὶ τὴν σιγὴν προείλου μᾶλλον, καγὼ αὐτὸς πάλιν ὑπὲρ καπνοῦ ἐθέμην τὸ πηδάλιον, ὡς λέγεται, τὸ ἴσον σοι ποιῶν. Τανῦν δὲ ἐπεὶ μεσιτοῦ ἐδεήθης πρὸς τοῦτο, τὸ γραμμάτων δηλαδὴ ἐπιτυχεῖν σε ἡμετέρων, καὶ τούτου οὐκ ἔκ τινος τῶν ἀσυνήθων καὶ ἀγνώστων ἀνδρῶν, ἀλλ' ἐκ τῶν γνωρίμων, καὶ εἰθισμένων (τοῦ σοῦ γεννήτορος δηλαδὴ) καὶ τούτου χάριν καγὼ τὸ γηραλαῖον ἐκείνου καὶ σεμνὸν αἰδεσθείς, ὑπεῖξα τῷ τούτου κελεύσματι, καὶ διεχάραξά σοι τὸ παρὸν τῆς τε ἐμῆς ὑγιείας ἀγγελτικὸν σὺν τῇ τῆς τῶν συγγενῶν πάντων, καί σε παροτρύνον τοῖς αὐτοῖς ἀμείβεσθαί μοι δώροις μὴ ὀκνεῖν. Ἔρρωσο.

,αψστ' μουνυχιῶνος β' φθίνοντος.

'Αθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος, ὑμέτερος εὐχέτης.

ἐπιστ. 12

Τὴν ἐπιστολὴ μᾶς παραδίδει ἐπίσης ὁ κώδ. *'Αγ. Παντελ. 781*, φ. 208α· ὁ Σωφρόνιος Ευστρατιαδης τὴν ἔχει δημοσιεύσει (περ. *Ρωμανὸς ὁ Μελωδός*, τ. Α', τεῦχ. 6, Παρίσι 1932, σ. 153). Τὰ τρία κείμενα παρουσιάζουν διαφορές. Παραθέτουμε καὶ τὰ κείμενα τοῦ κώδ. 'Αγ. Παντελ. 781 καὶ τῆς ἐκδόσεως.

'Αγ. Παντελ. 781, φ. 208α	Ἔκδοση Σωφρονίου Εὐστρατιάδη
Τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ μητροπολίτῃ Ναυπάκτου καὶ Ἄρτης καὶ ἡμετέρῳ πατρὶ καὶ δεσπότῃ κυρίῳ κυρίῳ Νεοφύτῳ, τὴν ὀφειλομένην εὐλάβειαν καὶ προσκύνησιν.	*Τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ μητροπολίτῃ ... Ἄρτης ... κὺρ Νεοφύτῳ τὴν ὀφειλομένην εὐλάβειαν καὶ προσκύνησιν.*
Τὰ ἀντιπίπτοντα τῶν πραγμάτων, πανιερώτατε δέσποτα, εἰώθασι πολλάκις ἀπείργειν τοὺς πᾶν ὁτιοῦν ἔργον προσεπικατορθοῦν, οὐ μόνον τὸ πρὸς τὴν ψυχὴν συντεῖνον, ἀλλὰ καὶ πρὸς τὸ σῶμα.	*Τὰ ἀντιπίπτοντα τῶν πραγμάτων, πανιερώτατε Δέσποτα, εἰώθασι πολλάκις ἀπείργειν τοὺς πᾶν ὁ,τιοῦν ἔργον βουλομένους προσεπικατορθοῦν, οὐ τὸ πρὸς τὴν ψυχὴν αὐτὴν συντεῖνον μόνον, ἀλλὰ τὸ καὶ πρὸς τὸ σῶμα·*
Τούτων δὲ τούτων καὐτὸς κωλυθεὶς ταῖς προσαπελθούσαις τῶν ἡμερῶν οὐκ ἐδυνήθην ἐκτελέσαι τὸ τῆς περιπεσούσης σοι χρείας, καὶ βεβαίως διατελῶν εἰμι βαρυκαρδίσαι αὐτὴν σμικρόν τι ἐπ' ἐμοί, ὃ μὴ	*τούτων δὴ τούτων τῶν ἀντιπιπτόντων πραγμάτων καὐτὸς ἐγὼ κωλυθεὶς ταῖς προαπελθούσαις τῶν ἡμερῶν, οὐκ ἠδυνήθην ἐκτελέσαι τὸ τῆς περιπεσούσης σοι χρείας, καὶ βεβαίως διατελῶν εἰμι βαρυκαρδίσαι*

γένοιτο ἐγκεχωρηκέναι ποτε τῇ σῇ διανοίᾳ, ὡς πεῖραν μακρὰν ἔχουσαν τῶν τε ἀντιπιπτόντων, καὶ τῶν μή.

᾽Αλλ᾽ ἣν εἶχε πρός με φιλικὴν εὔνοιαν τῆς χρηστῆς αὐτῆς διαθέσεως, ταύτην ἐχέτω ἐσαεὶ ἐκλιπαρῶ καὶ ἔτι πρός. Τό τε ὀφειλόμενον ταύτης τεύξη παρὰ τοῦ μισθαποδότου τῶν ἁπάντων Θεοῦ. ῎Ελαβον ἀνὰ χεῖράς καὶ τὸ παρ᾽ αὐτῆς ἐκπεμφθέν μοι λῆμμα, διὰ τοῦ εὐλαβεστάτου τῶν ἱερέων κυρίου Σαπφείρου (τὸ μισὸν καὶ ἀκέραιον, δηλαδή, γρῶσσον) καὶ χάριτας οὐ τὰς τυχούσας αὐτῇ ὡμολόγησα, τὴν σὴν εὐλογίαν νοερῶς ἅμα καὶ αἰσθητῶς αὐτήν μοι ἐκπέμψασαν, ἧς μή μοι ὑστερηθείην γένοιτό ποτε, ἀλλ᾽ ἐχοίμην αὐτὴν καὶ τανῦν καὶ εἰς τὸ μετέπειτα ἐσαεί.

῎Εῤῥωσο, ὦ θεία καὶ ἱερωτάτη κεφαλή, πολλοὺς ἐς λυκάβαντας.
῾Ο λογιώτατος διδάσκαλος, ὁ ἐμὸς ἀδελφὸς ἀσπάζεται πανευλαβῶς τὴν σὴν πανιερότητα δι᾽ ἐμοῦ. ῾Ομοίως τὴν προσκυνάει καὶ ὁ Εὐγένιος, χάριτας οὐ τὰς τυχούσας ὁμολογῶν σοι καὶ αὐτός, τῆς πρὸς αὐτὸν φιλοτιμίας. ᾽Ασπάζομαι καγὼ δι᾽ αὐτῆς τὸν αἰδεσιμώτατον σακκελάριον... Νικόλαον σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ.
[ἀχρονολόγητο]

ταύτην μικρόν τι ἐπ᾽ ἐμοί, ὃ μὴ γένοιτο ἐγκεχωρηκέναι ποτὲ τῇ σῇ διανοίᾳ, ὡς πεῖραν μακρὰν ἔχουσαν τῶν τε ἀντιπιπτόντων καὶ τῶν μή·
ἀλλ᾽ ἣν εἶχε πρός με φιλικὴν εὔνοιαν τῆς χρηστῆς αὐτῆς διαθέσεως, ταύτην ἐχέτω ἐσαεὶ ἐκλιπαρῶ καὶ ἔτι πρός. Τό τε ὀφειλόμενον ταύτης χρέος τεύξη παρὰ τοῦ μισθαποδότου τῶν ἁπάντων Θεοῦ. ῎Ελαβον ἀνὰ χεῖρας καὶ τὸ παρ᾽ αὐτῆς πεμφθέν μοι λῆμμα διὰ τοῦ εὐλαβεστάτου τῶν ἱερέων κυρίου Σαπφείρου (τὸ μισὸν καὶ ἀκέραιον δηλαδὴ γρῶσσον) καὶ χάριτας οὐ τὰς τυχούσας αὐτῇ ὡμολόγησα, τὴν σὴν εὐλογίαν νοερῶς τε ἅμα καὶ αἰσθητῶς αὐτήν μοι ἐκπέμψασαν, ἧς μὴ ὑστερηθείην γένοιτό ποτε, ἀλλ᾽ ἐχοίμην αὐτὴν καὶ τανῦν καὶ εἰς τὸ μετάπειτα καὶ ἐσαεί, μεθ᾽ ἧς καὶ τῶν ἱερωτάτων αὐτῆς γραμμάτων ποτέ.
῎Εῤῥωσο, ὦ θεία καὶ ἱερωτάτη κεφαλή, πολλοὺς εἰς λυκάβαντας.

᾽Εξ ᾽Ανατωλικοῦ ͵αψστ´ ἑκατομβαιῶνος η´ μεσοῦντος.— Τῆς σῆς πανιερότητος ταπεινὸς δοῦλος
᾽Αθανάσιος ἱερομόναχος ὁ ἐλάχιστος.

ἐπιστ. 13 καὶ 14

῾Ο *᾽Ιωακεὶμ ὁ Καρπεν(ν)ησιώτης* «ὁ πανοσιώτατος καὶ σπουδαιότατος» (ἢ «φιλομαθέστατος») εἶναι ἴσως παλαιὸς μαθητὴς τοῦ ᾽Αθανασίου καὶ τώρα τῆς «αὐτόθι σχολῆς τῶν ᾽Ιωαννίνων». Στὰ ᾽Ιωάννινα βρίσκεται ἐπίσης ὁ ὁμώνυμός του «λογιώτατος πνευματικὸς κὺρ ᾽Ιωακείμ»· δὲν γνωρίζουμε κάτι γι᾽ αὐτόν. Καὶ ἀκόμη ὁ «λογιώτατος καὶ σοφώτατος κὺρ *᾽Αναστάσιος*»· ἴσως πρόκειται γιὰ τὸν γνωστὸ διδάσκαλο ᾽Αναστάσιο Παπαβασιλείου ἢ Παπα-Βασιλόπουλο, ὁ ὁποῖος ἤδη «εἰς τὸ τῆς ἱερωσύνης προεβιβάσθη ἀξίωμα».

ἐπιστ. 16

῾Ο Δημήτριος ὁ Κυριτζόπαις «εἰς τὸ τῶν συνδίκων ἀνέβη ἀξίωμα»· ὁ ᾽Αθανάσιος τοῦ ἀπευθύνει συγχαρητήρια καὶ συμβουλές. *Σύνδικος* (Sindico) ἦταν ἀξίωμα ἐπὶ ἑνετοκρατίας· ἐκλεγόταν ἀπὸ τὴν ἑλληνικὴ κοινότητα γιὰ ἕνα χρόνο καὶ ἦταν ὁ σύνδεσμος μὲ τὸν ῾Ενετὸ Προβλεπτή, ἰδίως γιὰ θέματα ἀγορανομίας καὶ ἀπονομῆς δικαιοσύνης.

ἐπιστ. 17

Σημειώνουμε τὰ τῆς μετακινήσεως τοῦ Εὐγενίου, τοῦ ἄλλου ἀδελφοῦ· καὶ τὰ τῆς περιηγήσεως τοῦ ᾽Αναστασίου Γορδίου στὴν περιοχὴ τῆς ᾽Αράχοβας, καθὼς καὶ τὴν ἐγκατάστασή του στὸ ᾽Ανατολικό «...οἰκίσκῳ τινὶ ἐξ ἰδίων ἀναλωμάτων δομηθέντι ... τῶν τῇδε ἐγχωρίων ἀπαναινόμενος ...».

ἐπιστ. 18

Βιτάλιος· «ἀναγνώστης», προστατευόμενος τοῦ ᾽Αναστασίου Γορδίου· μένει στὰ Βρανιανὰ (πιθανότατα μὲ τὴν οἰκογένεια τοῦ Γορδίου· ἀναφέρεται συχνότατα στὶς ἐπιστολὲς τῶν δύο ἀδελφῶν, μὲ οἰκειότητα). ᾽Απὸ μεταγενέστερη ἐπιστολὴ τοῦ ᾽Αθανασίου («ἐξ ᾽Ανατωλικοῦ, ͵αψιστ´ μεταγειτνιῶνος ε´ φθίνοντος»), ἀντιλαμβανόμαστε ὅτι φέρθηκε μὲ ἀγνωμοσύνη στὸν προστάτη του: «...Καὶ μᾶλλον διὰ τὴν δήλωσιν τῆς κακεντρεχείας τοῦ κακοήθους Βιταλίου, ᾧτινι ἐν χρησταῖς ταῖς ἐλπίσι διάκειμαι ἐπελθεῖν ἄνωθεν παρὰ τοῦ τῆς θείας Δίκης ὀφθαλμοῦ ἔνδικός της δίκη ὑπὲρ ὧν ἐνέτυχεν παρ᾽ αὐτῆς σωματικῶν τε καὶ ψυχικῶν εὐεργετημάτων, τούτων πάντων ἀμνημονήσας καὶ πράξας ἤδη ὃ παραφρόνως ἐπράξατο...». (κώδ. *῾Αγ. Παντελ. 693*, φ. 226α, ἐπιστ. οστ´).

ἐπιστ. 19 καὶ 20

Δύο ἐπιστολὲς σὲ σύντομο χρονικὸ διάστημα πρὸς τὸ ἴδιο πρόσωπο (βλ. καὶ ἐπιστ. 11). Σημειώνουμε τὶς ὁδηγίες περὶ τοῦ πῶς πρέπει νὰ συντάσσονται οἱ ἐπιστολές.

ἐπιστ. 22

᾽Επιστολὴ πρὸς τὸν ἀδελφό του, περιγραφὴ χαρακτηριστικὴ τῶν προβλημάτων τῆς ὑγείας του.

Σημειώνουμε τὶς μνεῖες θανάτων: τοῦ ἡγουμένου τῆς μονῆς Μυρτιᾶς *Γρηγορίου* (20 ᾽Ιανουαρίου 1712)· τοῦ πνευματικοῦ τοῦ ἁγίου Σώζοντος *Γερμανοῦ* (20 Νοεμβρίου 1711)· καὶ τοῦ μητροπολίτη Παλαιῶν Πατρῶν *᾽Αρσενίου* (πρὶν ἀπὸ τὶς 10 Φεβρουαρίου 1712).

ἐπιστ. 24

῾Ο κολονέλος *᾽Ιωάννης Λουδαρέκκας* ἢ *Λουδουρέκας* (Collonello Giovanni Ludurecca) εἶναι ὁ σκλαβουνικῆς («βουλγαρικῆς») καταγωγῆς ἀξιωματικός, ὁ ὁποῖος, μαζὶ μὲ τὸ στρατιωτικὸ σῶμα ὁμοφύλων του ποὺ διοικεῖ, συνεργάζεται ἀπὸ τὸ 1686 μὲ τοὺς ῾Ενετούς, οἱ ὁποῖοι σύντομα τοῦ ἀπονέμουν στρατιωτικὰ ἀξιώματα καὶ τὸ 1695 τὸν διορίζουν ᾽Ανώτερο ᾽Επιθεωρητὴ στὶς περιοχὲς Ξηρομέρου καὶ Βάλτου· τὸ 1699 τοῦ παραχωροῦνται κτήματα στὴν ᾽Αχαΐα, ὅπου ἐγκαθίστανται ἡ οἰκογένειά του καὶ οἱ οἰκογένειες τῶν στρατιωτῶν του, οἱ ὁποῖες, ὑπὸ τὴν πίεση τῶν Τούρκων, ἐγκαταλείπουν τὴν Στερεὰ ῾Ελλάδα (βλ. Κ. ΝΤΟΚΟΥ, *ὅ.π.*, ἰδίως σ. 54-55 καὶ 179-182. Α. Π. ΑΡΧΟΝΤΙΔΗ, ὅ.π., ἰδίως σ. 40-42). Διατηρεῖ πολὺ φιλικὲς σχέσεις μὲ τὸν ᾽Αναστάσιο Γόρδιο καὶ τὸν ᾽Αθανάσιο.

έπιστ. 25

Γιὰ *«τὰ πραχθέντα παρὰ τῶν μιαρῶν Ἰουδαίων ἐν Ζακύνθῳ»* αὐτὴ τὴν ἐποχή, μιὰ ἄλλη ἀναφορὰ στὸ ἴδιο αὐτὸ γεγονός, βλ. Ντ. Κονομου, *Ζακυνθινὰ Χρονικὰ (1485-1953)*, Ἀθῆναι 1970, σ. 102-105.

έπιστ. 26

«ἰχθυϊκὴ» εἶναι ἡ ἐμπορία τοῦ Διαμαντῆ Γεωργούση, τοῦ γαμβροῦ τοῦ Ἀναστασίου Γορδίου καὶ τοῦ Ἀθανασίου.

έπιστ. 27

Ἡ ἐπισκοπὴ Ρωγῶν καὶ Κοζύλης ἐξαρτᾶται ἀπὸ τὴν μητρόπολη Ναυπάκτου καὶ Ἄρτης (παλαιότερα Νικοπόλεως)· καὶ οἱ χαιρετισμοὶ τοῦ Ἀθανασίου ἀπευθύνονται πρὸς τὸν μητροπολίτη Νεόφυτο Μαυρομάτη, μὲ τὸν ὁποῖο ἐξ ἄλλου διατηροῦσε ἄμεση ἐπαφὴ καὶ ἀλληλογραφία (ἐπιστ. 12, 15 πιὸ πάνω καὶ στὴν συνέχεια).

έπιστ. 28

«...διὰ τὸν θάνατον τοῦ μακαρίτου Κυρίτζη» βλ. καὶ σχολ. τῆς 10ης ἐπιστ., σ. 249.

ΕΥΡΕΤΗΡΙΟ ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ

Ἀγγελόκαστρον, τοπων. 247
Ἀγγελικόν, τοπων. 246
Ἁγία Μαύρα 218, 224, 245, 246
Ἁγ. Παρασκευῆς, ἐκκλ. Βρανιανῶν 247
Ἁγίας Τριάδος, μονὴ Μετεώρων (χφφ.) 216, 221
Ἅγιον Ὄρος 215, 222, 230
Ἅγιος Βλάσιος, τοπων. 236
Ἁγίου Παντελεήμονος, μονὴ Ἁγ. Ὄρους (χφφ.) 215 και passim
Ἅγιος Σώζων, τοπων. 240, 245
Ἄγραφα 215, 222, 224, 228, 247
Ἀγράφων μητροπολ. βλ. Διονύσιος
Ἀθανάσιος ἱερομόναχος 215 καὶ passim
Ἀθανάσιος, ἱεροδ. - διδάσκ. Ἄρτης 219
Ἄθως· βλ. καὶ Ἅγιον Ὄρος
Αἰτωλία 215, 222, 247
Αἰτωλικό, τοπων. 246
Ἀκαρνανία 236
«Ἀκεσαίου σελήνη», παροιμία 246
Ἀλέξανδρος· βλ. Λουδαρέκας
Ἀλέξιος· βλ. Καραντινός
Ἀλτάνη, μητέρα Ἰω. Καραντινοῦ 225, 236, 237, 242, 243, 248
Ἀναστάσιος Γόρδιος. βλ. Γόρδιος
Ἀναστάσιος (κὺρ) 228
Ἀναστάσιος (Παπαβασιλόπουλος;) 233, 234, 250
Ἀνατολικὸ (ἢ Ἀνατωλικὸν) 215 καὶ passim· ἰδίως 246-247
Ἀνατωλικιῶται 250
Ἀντελικὸν, τοπων. 246
Ἀράχοβα 222, 236, 251
Ἀρμάγος 245
Ἀρσένιος Παλαιῶν Πατρῶν 240, 251
Ἄρτα 219, 220
Ἄρτης μητροπολ.. βλ. Νεόφυτος
Ἀχαΐα 251

Βάλτος 218, 251
Βενετία 219· βλ. καὶ Ἑνετία
Βέρροια 227
Βιτάλιος, ἀναγνώστης 217, 237, 240, 243, 245, 247, 251
Βρανιανὰ 215, 217, 219, 220, 221, 247, 251
Βραχώρη, τοπων. 247

Γαβριήλ, μοναχός 246
Γερμανός, πνευματικὸς 240, 251
Γεωργάκης (;) 225
Γεώργιος Παπαλέκας, πατέρας Ἀθανασίου 216
Γεωργούσης· βλ. Διαμαντῆς
Γιαννούλης Εὐγένιος ὁ Αἰτωλὸς 215, 216, 219, 222, 247
Γόρδιος Ἀναστάσιος 215 καὶ passim
Γρηγόριος, ἡγούμ. μ. Μυρτιᾶς 240, 251

Δανιήλ, (παπα-) 235
Δημήτριος (;) 225, 227, 247
Δημήτριος Κυριτζόπαις 219, 231, 235, 239, 240, 248, 250
Δημήτριος Μιξῆς 239
Δῆμος Κέρατζης 220
Δῆμος Λαχανᾶς 220
Διαμαντῆς Γεωργούσης, γαμβρὸς Ἀθανασίου 217, 228, 231, 243, 247, 252
Διονύσιος Λιτζᾶς καὶ Ἀγράφων 246
Διοσκουρίδης 230

Εἰρηναῖος Κυπαρίσσιος, ἱερέας 226
Ἐλισάβετ, θυγ. Ἰω. Καραντινοῦ 237
Ἑνετία - Ἑνετοὶ 217, 218, 220, 225, 242
Ἔξω Χώρα, τοπων. 247
Ἑπτάνησα 221
Εὐγένιος Γιαννούλης. βλ. Γιαννούλης
Εὐγένιος/Εὐθύμιος, ἱερομόν. ἀδελφὸς Ἀθανασίου 216, 220, 221, 225, 229, 230, 233, 234, 235, 236, 250
Εὐγένιος, μοναχὸς μ. Τατάρνας 246
Εὐρυτανία 215

Ζάκυνθος - Ζακύνθιοι 242, 252
Ζαπάντι, τοπων. 219, 220, 247
Ζαφείρης, ἱερέας 221· βλ. καὶ Σάπφειρος
Ζαχαρίας. βλ. Καραντινός

Θεόδωρος, ἀδελφὸς Ἀθανασίου 217

Θεόδωρος, γέρων 242

Ἱερεμίας, ἱερομόν. 219
«Ἰλιάδα κακῶν»· παροιμ. 220, 246
Ἰουδαῖοι 242
Ἰσοκράτης 234
Ἰωακείμ, μοναχὸς διδάσκ. Ἀθανασίου 219, 226, 247
Ἰωακείμ, πνευματικὸς διδάσκ. Ἰωαννίνων 233, 234, 250
Ἰωακεὶμ Καρπεν(ν)ησιώτης, ἱερομόν. μαθητὴς Ἰωαννίνων 233, 250
Ἰωάννης Ἀσίκης 227
Ἰωάννης Καλόγερος· βλ. Καραντινὸς
Ἰωάννης Λουδαρέκας· βλ. Λουδαρέκας
Ἰωαννίνων Σχολὴ 233

Καλόγερος· βλ. Καραντινὸς
Κανέλλος, ἱερέας 242
Καραΐς, τοπων. 218
Καραντινὸς Ἀλέξιος, ἱερέας 235
Καραντινὸς Ζαχαρίας, ἱεροδιάκ. 220, 231, 237, 238, 248, 249
Καραντινὸς Ἰωάννης Καλόγερος 225, 237, 240, 243, 245, 248
Κάρλοβιτς συνθήκη 217
Καρᾶς Πετρηλλιώτης 242
Κοζύλης ἐπίσκ.. βλ. Παρθένιος
Κομνηνὸς Ἄγγελος 247
Κορυδαλλεὺς (Θεόφιλος) 238
Κουρητῶν χώρα, 236
Κουρνοῦτος 230
Κυρηναῖος (Συνέσιος, ἐπιστολογρ.) 230
Κυρίτζαινα 248
Κυρίτζης Τζιμούρης 245, 248, 252
Κυρίτζης, ἱερέας 248
Κυριτζόπαις· βλ. Δημήτριος
Κώνστας, ἱερόπαις 243

Λαέρτιος 222
Λασκάρεως γραμματικὴ 238
Λευκάδα 218· βλ. καὶ Ἁγία Μαύρα
Λιτζᾶς ἐπίσκ. βλ. Διονύσιος
Λουδαρέκας Ἀλέξανδρος 218
Λουδαρέκας Ἰωάννης 218, 240, 241, 245, 246, 251

Μακάριος, ἱερέας 227
Μαυρομάτης· βλ. Νεόφυτος
Μεσολόγγιον (ἢ -γκ-) 225, 237, 239, 241, 247
Μοσχολούριον 241
Μυρσίνης μονὴ 242
Μυρτιᾶς μονὴ 240

Ναύπακτος 225
Ναυπάκτου ἐπίσκ. βλ. Νεόφυτος
Ναύπλιον 224, 246
Νεόφυτος (Μαυρομμάτης) μητροπολ. Ναυπάκτου καὶ Ἄρτης 220, 232, 234, 249, 252
Νεοχωρῖται 245
Νικόδημος (Μαζαράκης) 222
Νικόλαος, ζωγράφος 228
Νικόλαος, σακκελάριος 250
Νικόλαος, μαθητὴς 219

Ξηρόμερον 218, 221, 251

Ὅμηρος 239

Παλαιῶν Πατρῶν ἐπίσκ. βλ. Ἀρσένιος
Παναγιώτης («ὁ τῆς Μπελκοπούλης») 240
Παπαβασιλόπουλος· βλ. Ἀναστάσιος
Παπαλέκας· βλ. Γεώργιος
Παρθένιος Ρωγῶν καὶ Κοζύλης 244
Παχώμιος, μοναχὸς 246
Πελοπόννησος 218
Πέτρος, 246
Πρέβεζα 225
Πτολεμαίου γεωγραφία 230

Ρίζος 218
Ρωγῶν ἐπίσκ. βλ. Παρθένιος

Σάπφειρος, ἱερέας 232, 250· βλ. καὶ Ζαφείρης
Στερεὰ Ἑλλάδα 218, 220, 221
Συνεσίου ἐπιστολαὶ 222

Τατάρνας (Τετάρνης) μονὴ 217, 218, 219, 222, 225, 246
Τετάγιον, τοπων. 217
Τζιμούρης· βλ. Κυρίτζης
Τοῦρκοι - Τουρκοκρατία 217, 218, 219, 220, 251

Φέγγω, ἀδελφὴ Ἀθανασίου 217, 237, 240, 243, 245
Φιλοστράτου Εἰκόνες 219

Χριστοφόρος, ἱερομ. 217, 227, 228, 229, 230, 236, 243, 247, 248

ΕΛΕΝΗ ΑΓΓΕΛΟΜΑΤΗ - ΤΣΟΥΓΚΑΡΑΚΗ

ΣΥΜΒΟΛΗ ΣΤΗΝ ΙΣΤΟΡΙΑ ΤΗΣ ΟΙΚΟΝΟΜΙΚΗΣ, ΚΟΙΝΩΝΙΚΗΣ ΚΑΙ ΕΚΠΑΙΔΕΥΤΙΚΗΣ ΖΩΗΣ ΤΗΣ ΛΑΡΙΣΑΣ ΚΑΤΑ ΤΗΝ ΤΟΥΡΚΟΚΡΑΤΙΑ

Ἡ Λάρισα μετὰ τὴν κατάκτησή της ἀπὸ τὸν Τουραχὰν τὸ 1423 μετωνομάστηκε σὲ Γενὶ Σεχὶρ καὶ δέχτηκε τὴν ἐγκατάσταση ἑνὸς μεγάλου ἀριθμοῦ Τούρκων. Οἱ σωζόμενες τουρκικὲς ἀπογραφὲς τοῦ 15ου καὶ 16ου κυρίως αἰώνα μᾶς παρέχουν ἕνα σημαντικὸ σὲ ἔκταση, πλοῦτο καὶ ἀκρίβεια ὑλικὸ γιὰ τὴ ζωὴ τῆς πόλης, ὑλικὸ ποὺ μᾶς λείπει γιὰ τοὺς ἑπόμενους αἰῶνες. Ὁ χριστιανικὸς πληθυσμὸς τῆς Λάρισας τοὺς πρώτους μετὰ τὴν κατάκτησή της χρόνους ἦταν πολὺ μικρὸς σὲ σύγκριση μὲ τὸν μουσουλμανικό. Ἀπὸ τουρκικὴ ἀπογραφὴ τοῦ 1454/5 μαθαίνουμε ὅτι στὴ Λάρισα ὑπῆρχαν ἕνδεκα μουσουλμανικὲς συνοικίες μὲ 355 ἑστίες καὶ 12 χῆρες, ἐνῶ οἱ χριστιανοὶ κατοικοῦσαν σὲ μία μόνο συνοικία ποὺ εἶχε 66 σπίτια καὶ 17 χῆρες. Οἱ χριστιανικὲς δηλαδὴ ἑστίες ἀποτελοῦσαν μόνο τὸ 18,44% τοῦ συνολικοῦ ἀριθμοῦ τῶν ἑστιῶν τῆς πόλης ποὺ ἀνέρχονταν σὲ 450[1]. Σὲ ἀπογραφὴ τοῦ 1520-1530 παρατηρεῖται μιὰ σημαντικὴ αὔξηση τοῦ πληθυσμοῦ τῆς πόλης. Τότε περιελάμβανε συνολικὰ 768 οἰκογένειες, ἀπὸ τὶς ὁποῖες ὅμως οἱ 693 ἦταν μουσουλμανικὲς καὶ μόνο οἱ 75 χριστιανικές. Ἡ αὔξηση δηλαδὴ αὐτὴ ἀφοροῦσε οὐσιαστικὰ τὸ τουρκικὸ στοιχεῖο τῆς Λάρισας, ἐνῶ ὁ ἑλληνικὸς πληθυσμός της παρέμεινε στὴ φάση αὐτὴ στάσιμος, ἂν δὲν παρουσίασε μιὰ μικρὴ μείωση.

Ἐκτὸς ἀπὸ τοὺς Τούρκους καὶ τοὺς Ἕλληνες οἱ Ἑβραῖοι ἀποτέλεσαν λίγο ἀργότερα μιὰ σημαντικὴ ἐθνότητα τῆς Λάρισας. Στὶς δύο ἀπογραφὲς γιὰ

1. Ömer Lûtfi Barkan, «Quelques observations sur l'organisation économique et sociale des villes ottomanes, des XVI et XVII siècles», *Les recueils de la societé Jean Bodin pour l'histoire comparative des institutions:* la ville, Bruxelles 1956, τόμ. VI/2, σ. 295-6. Του Ιδιου. «Quelques remarques sur la constitution sociale et démographique des villes balkaniques au cours des XVe et XVIe siècles» στὸ *Istanbul à la jonction des cultures balkaniques, méditerranéennes, slaves et orientales aux XVIe-XIXe siècles. Actes du colloque international organisé par l'AIESEE...*Istanbul 15-20 Octobre 1973..., Bucarest 1977, σ. 283, 295-6. 299, N. Beldiceanu — P. Ş. Năsturel, «La Thessalie entre 1454/55 et 1506», *Byzantion*, τόμ. LIII (1983), σ. 122-3.

τὶς ὁποῖες μιλήσαμε δὲν ἀναφέρεται ἡ ὕπαρξή τους στὴν πόλη, μολονότι σ' ἐκείνη τοῦ 1454/5 ὑπάρχει ἔνδειξη γιὰ τὴν παρουσία 'Εβραίων στὰ Τρίκαλα[2].

Οἱ 'Εβραῖοι τῆς Λάρισας ἦταν ἱσπανικῆς καταγωγῆς καὶ στὶς ἀρχὲς τοῦ 19ου αἰώνα ἀκόμα μιλοῦσαν ἱσπανικά[3]. 'Η ἐγκατάσταση στὴ Λάρισα τῶν 'Εβραίων τῆς 'Ισπανίας καὶ τῆς Πορτογαλλίας, ποὺ ἐξώσθηκαν ἀπὸ τὸν Φερδινάνδο καὶ τὴν 'Ισαβέλλα τὸ 1492, πρέπει νὰ ἔγινε μετὰ τὴν ἀπογραφὴ τοῦ 1520-1530, ἀφοῦ δὲν ἀναφέρονται 'Εβραῖοι κάτοικοι σὲ αὐτή. 'Απὸ ὅσο μᾶς εἶναι γνωστὸ ἡ πρώτη μνεία ἱσπανόφωνων 'Εβραίων στὴ Λάρισα εἶναι τοῦ 1669 καὶ ὀφείλεται στὸν "Αγγλο περιηγητὴ E. Brown[4].

Στὶς ἀρχὲς τοῦ 16ου αἰώνα θεωρεῖται βέβαιη καὶ ἡ παρουσία ἀλβανικοῦ καὶ βλάχικου πληθυσμοῦ στὴ Λάρισα, ὅπως φανερώνουν τὰ διατάγματα τοῦ 1506 τοῦ Βαγιαζὴτ II σχετικὰ μὲ τὶς πόλεις Τρίκαλα, Γενὶ Σεχὶρ (Λάρισα) καὶ Τσατάλτζα (Φάρσαλα)[5].

Στὴ Λάρισα ὑπῆρχαν καὶ μερικοὶ 'Αρμένιοι μέχρι τὰ τέλη τοῦ 18ου αἰώνα[6]. Στὶς ἀρχὲς τοῦ 19ου αἰώνα ὅμως δὲν κατοικοῦσαν πιὰ στὴν πόλη. Κατὰ τὸν W. M. Leake[7] τὴν εἶχαν ἐγκαταλείψει γιὰ νὰ ἐγκατασταθοῦν σὲ τόπους ὅπου οἱ χριστιανοὶ μποροῦσαν νὰ ἐμπορεύονται μὲ μεγαλύτερη ἀσφάλεια. Μιὰ ἄλλη πληροφορία, ἐπίσης τῶν ἀρχῶν τοῦ 19ου αἰώνα[8], ἀναφέρει ὅτι πολλοὶ ἀπὸ τοὺς

---

2. ÖMER LÛFTI BARKAN, ὅ.π., στὸ *Istanbul à la jonction des cultures balkaniques...Actes du colloque international organisé par l'AIESEE...* Istanbul 15-20 Octobre 1973..., Bucarest 1977, σ. 283. N. BELIDICEANU - P. Ş. NĂSTUREL, ὅ.π., *Byzantion*, τόμ. LIII (1983), 120.

3. E. BROWN, *A Brief Account of Some Travels in Divers Parts of Europe...* London 1685, σ. 40. W. M. LEAKE, *Travels in Northern Greece*, London 1835, τόμ. IV, σ. 443-4. J. GALT, *Voyages and Travels in the Years 1809, 1810, and 1811*, London 1812, σ. 218.

4. E. BROWN, *ὅ.π.*, σ. 40.

5. N. BELDICEANU — P. Ş. NĂSTUREL, ὅ.π., *Byzantion*, τόμ. LIII (1983), σ. 118, 119.

6. Δ. ΦΙΛΙΠΠΙΔΗ ΚΑΙ Γ. ΚΩΝΣΤΑΝΤΑ, *Γεωγραφία Νεωτερικὴ περὶ 'Ελλάδος*, 'Αθήνα 1970, σ. 98.

7. W. M. LEAKE, *ὅ.π.*, τόμ. I, 438.

8. Γεννάδειος Βιβλιοθήκη, Κώδ. Κ7, φ. 14α. Τὸ χειρόγραφο αὐτὸ μὲ τὸν τίτλο «'Ιστορικὴ τοπογραφία τῆς τωρινῆς Θεσσαλίας», τοῦ ἔτους 1817 εἶναι μία παραλλαγὴ τοῦ ἔργου τοῦ 'Ιωάννου Οἰκονόμου Λαρισσαίου.Σχολιασμένη ἔκδοσή του ἀπὸ τὸν Κ.Θ. Κυριακόπουλο μὲ τὸν τίτλο: *'Ιωάννου Οἰκονόμου Λαρισσαίου 'Ιστορικὴ Τοπογραφία τῆς τωρινῆς Θεσσαλίας*, βρίσκεται στὸ τυπογραφεῖο. 'Απὸ διαφορετικὸ χειρόγραφο, τῆς Λάρισας, δημοσιεύτηκε πρόσφατα τὸ ἔργο αὐτὸ μαζὶ μὲ τὴ μετάφραση ἔργου τοῦ Λουκιανοῦ ἀπὸ τὸν ἴδιο συγγραφέα, βλ. ΙΩ. ΟΙΚΟΝΟΜΟΥ-ΛΑΡΙΣΑΙΟΥ Λογιωτάτου. I. *'Αληθινὴ ιστορία του Λουκιανοὺ Σαμοσατέως (μετάφραση στή δημοτικὴ — 1817)*. II. 'Ιστορικὴ τοπογραφία ενός μέρους τῆς Θετταλίας —1817, εισαγωγή - φροντίδα Μ. Μ. Παπαϊωάννου, 'Αθήνα — 1989, (στὸ ἑξῆς μὲ τὴν ἔνδειξη Μ. Μ. Παπαϊωάννου), σ. 164.

'Αρμενίους τῆς Λάρισας εἶχαν πεθάνει σ' ἕνα θανατικὸ καὶ οἱ ὑπόλοιποι διασκορπίστηκαν κατόπιν σὲ ἄλλα μέρη. "Εξω ἀπὸ τὴν πόλη, στὸ δρόμο γιὰ τὸ Βόλο, σώζονταν ἀκόμη τὴν ἐποχὴ ἐκείνη τὰ μνήματά τους.

'Η ἴδια συντριπτικὴ διαφορὰ ἀνάμεσα στὸν μουσουλμανικὸ καὶ τὸν χριστιανικὸ πληθυσμὸ τῆς Λάρισας ἐξακολουθοῦσε νὰ ὑφίσταται καὶ στοὺς ἐπόμενους αἰῶνες. Τὰ ἀκριβῆ ἀριθμητικὰ στοιχεῖα ὅμως πιὰ σπανίζουν. Σὲ μιὰ ἐνθύμηση τοῦ 17ου αἰ. ἀναφέρεται: «*στα τρίκαλα 1647 δεικεμβρίου-27 ἔβρεξεν ἒν μερόνηχτο· κ(αὶ) ἤλθεν / το νὲρῶ πὰράνου ἀπὸ τὴν πώρτα του κερβασαρι / κ(αὶ) ἐπνίγησαν στην λαρσα δσπείτι<α> 1500 κ(αὶ) ἄν(θρωπ)οι / ἀπο τον κρεμϊσμῶν τον δσπειτίον 800 κ(αὶ) περισσότεροι ευρίσκονταν ἀπό κάτου sa σπεϊτι/α πνιμένη*»[9]. 'Η πληροφορία αὐτή, ὅτι ὑπῆρχαν πάνω ἀπὸ 1500 σπίτια στὴ Λάρισα, ἀφοῦ τόσα καταστράφηκαν ἀπὸ τὴν πλημμύρα, φαίνεται νὰ διογκώνει τὸν πραγματικὸ ἀριθμό, ἂν τὴ συγκρίνουμε μὲ ἐκείνη μιᾶς τουρκικῆς ἀπογραφῆς τοῦ 1700. Σύμφωνα μὲ αὐτὴν ὑπῆρχαν 756 τουρκικὲς οἰκογένειες στὴ Λάρισα[10]. Δυστυχῶς στὴν ἐργασία ἀπ' ὅπου ἀντλοῦμε τὴν πληροφορία δὲν ἀναφέρεται καὶ ὁ ἀντίστοιχος ἀριθμὸς τῶν χριστιανικῶν ἑστιῶν, ἐντούτοις αὐτὲς δὲν θὰ μποροῦσαν νὰ εἶναι ἰσάριθμος ἢ καὶ περισσότερες ἀπὸ τὶς τουρκικές. Παρατηροῦμε ἐξάλλου ὅτι ὁ ρυθμὸς αὔξησης τοῦ τουρκικοῦ στοιχείου εἶχε στὴν οὐσία μείνει στάσιμος, ἀφοῦ τὸ 1520-1530 ἡ Λάρισα ἀριθμοῦσε 693 μουσουλμανικὲς οἰκογένειες, ὅπως εἴδαμε πιὸ πάνω.

Γιὰ τὸν 18ο καὶ τὶς ἀρχὲς τοῦ 19ου αἰώνα δὲν ὑπάρχουν ἀκριβῆ ἀριθμητικὰ στοιχεῖα γιὰ τὸν πληθυσμὸ τῆς πόλης, ὅλοι οἱ περιηγητὲς ὅμως συμφωνοῦν ὅτι ἡ Λάρισα εἶχε καθαρὰ τουρκικὸ χαρακτήρα, ὅτι οἱ Τοῦρκοι ὑπερτεροῦσαν κατὰ πολὺ τῶν 'Ελλήνων καὶ ὅτι οἱ 'Εβραῖοι ἀποτελοῦσαν ἕνα σημαντικὸ τμῆμα τοῦ πληθυσμοῦ, κατὰ ὁρισμένους σχεδὸν ἰσάριθμο μὲ τὸ ἑλληνικό. Τὸ 1705 ἔχουμε μιὰ πρώτη μνεία τοῦ ἀριθμοῦ τῶν ἑβραϊκῶν σπιτιῶν. 'Αναφέρεται ὅτι ἦταν περισσότερα ἀπὸ 200[11]. Οἱ ἀριθμοὶ πάντως ποὺ δίνουν οἱ περιηγητὲς φαίνονται σὲ πολλὲς περιπτώσεις ὑπερβολικοί. "Ενα καλὸ παράδειγμα ἀποτελεῖ ὁ Pococke[12], πού, πρὶν ἀπὸ τὰ μέσα τοῦ 18ου αἰώνα, ἀπέδιδε στὴ Λάρισα 5.000 τουρκικὰ σπίτια, 1.500 ἑλληνικὰ καὶ περίπου 300 ἑβραϊκά.

---

9. Δ. Ζ. ΣΟΦΙΑΝΟΥ, *Τὰ χειρόγραφα τῶν Μετεώρων. Κατάλογος περιγραφικὸς τῶν χειρογράφων κωδίκων τῶν ἀποκειμένων εἰς τὰς μονὰς τῶν Μετεώρων, τόμ. Γ'. Τὰ χειρόγραφα τῆς μονῆς 'Αγίου Στεφάνου*, 'Αθῆναι 1986, σ. 113.

10. ÖMER LUFTI BARKAN, ὅ.π., *Actes du colloque international organisé par l'AIESEE...* Istanbul 15-20 Octobre 1973..., Bucarest 1977, σ. 299-300.

11. P. LUCAS, *Voyage du Sieur Paul Lucas fait par l'ordre du Roi dans la Grèce, l'Asie Mineure, la Macédoine et l'Afrique*, à Amsterdam 1714, τόμ. I, σ. 216.

12. *Description of the East and Some Other Countries*, vol. II, part II ..., London 1745, σ. 153.

